Bd
7300

Oskar Viedebantt.
1902 — 286.

PHILOLOGORVM PRAECEPTORVMQVE

GERMANIAE

CONCILIO COLONIENSI

VNIVERSITAS LITTERARVM
FRIDERICIA GVILELMIA RHENANA

HOC DONVM DEDICAT

# DIONYSII HALICARNASEI

QVAE FERTVR

# ARS RHETORICA

RECENSVIT

**HERMANNVS VSENER**

LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI
MDCCCXCV

Institut für Altertumskunde
Inv. No. 8347

Sign. Bd 7300

LIPSIAE: TYPIS B. G. TEVBNERI

Dionysii quae fertur ars rhetorica diu neglecta iacuit, non tamquam grammaticorum studiis non ualde digna esset, sed quia interpretatio libri olim ex uili apographo editi, ab editoribus multifariam deprauati magis quam emaculati certo carebat fundamento. quamquam hoc facile substrui poterat unico lectionis fonte codice Parisino byblio-thecae nationalis gr. n. 1741 in usum uocato.

Docemur eo codice, Dionysii Halicarnasei nomen ab huius libri memoria plane alienum esse neque nisi ad duo capita ultima X et XI mera uiri alicuius docti coniectura referri (cf. scholion p. 107, 2). unde euenit ut is cui codex Marcianus DVIII saec. XIV—XV debetur sola haec capita libro de compositione uerborum subiungeret. poste-riores hac mentione abusi Dionysium scriptorem totius libri esse crediderunt. quod ne in apographis accidisse mireris: in ipso codice Parisino manus recentior hoc nomen libello imposuit. uanam autem illam coniecturam esse, qua propter Dionysii de imitatione libros, qui significari p. 112, 24 et 121, 22 uidebantur, eiusdem scriptoris esse caput X existimabatur, rectissime iam Sadaeus De Dionysii Halic. scriptis rhet. quaestt. crit. p. 29 sqq. iudicauit. qui-libet enim rhetor post Dionysium locum de imitatione illi aetati magis magisque necessarium scholis suis tractare potuit et plerique sine dubio tractabant cf. quae ad Dion. de imitatione p. 4 sq. dixi.

Duae libri sunt partes et origine et pretio diuersae. prioris sunt capita VII ex ampliore arte orationum de-monstratiui generis relicta aut electa. neque enim nos solum capita arti necessaria non pauca desideramus, sed scriptor ipse dum identidem p. 13, 11. 22, 8. 26, 17 legentem ad caput *περὶ ἐγκωμίου* remittit, quod primum olim locum obtinuisse existimes, librum mutilatum testatur. accedit quod codex Parisinus p. 25, 6 numerum *B* sine

dubio ex alterius libri inscriptione et 25, 3 ea uerba seruauit, quae cum ad caput antecedens nullo modo pertineant, ex clausula libri prioris relinqui uideantur. tempus ut definiatur, pretiosa est Nicostrati mentio p. 14, 14. quem rhetorem sub imp. M. Aurelio floruisse Aristidi aequalem et in oratorum decadem posteriorem relatum esse Suidas testatur, unum ex recentioribus propter tenuitatem sermonis (ἀφέλειαν) Hermogenes π. ἰδεῶν II 12, 3 p. 394 (Speng. p. 420) commendauit, cum Aeliano Philostratus uit. soph. II 31, 1 comparauit. etiam rerum memoria eo facit, ut tertio fere saeculo haec scripta esse statuamus: athletae quales c. VII describuntur, adulatio in magistratus Romanos (c. V), ueneratio Solis (p. 4, 22 sq.). quodsi scriptor p. 8, 7 sq. praeceptoris tantis laudibus celebrati nomen tacere noluisset, teneremus opinor rhetorem aliquem non ignotum illorum quos Antoninorum aetas tulit. nescio an huc etiam Xenophontis mentio faciat: quem qui ut exemplar imitandum proposuerint, praeter Dionem Chrysostomum or. XVIII et Hermogenem π. ἰδ. III 12, 1 non noui.

Quae secuntur, quidquid de eis uiri docti argutati sunt, omnia ex eodem ludo profecta sunt. cuius rei consensus doctrinae et artis uocabulorum ubique conspicuus certum est indicium. hunc rhetorem nihil est quod primo Caesarum saeculo adscribi uetet. uigere uidemus declamandi studia (cf. μελέτη μελετᾶν); suasoriarum (cf. p. 118, 18 sq.) et controuersiarum (p. 118, 7 s. 119, 2 s. 129, 19—130, 5) argumenta ita indicantur ut discipulis nota et trita esse appareant; descriptionum (ἐκφράσεις dicunt) abusus olim cantoribus Euphorionis ab Horatio artis poeticae u. 14—23 derisis gratus, deinde a rhetoribus captatus reprehenditur p. 120, 4—121, 2. Sed ex eodem ludo cum haec quattuor capita repeto, non una eademque omnia manu scripta esse dico. duo postrema aut ab ipso praeceptore ita sunt perscripta ut discipulis recitaturus erat, aut ex eius uoce a notariis excepta sunt. priora duo quae sunt de oratione figurata secundum eiusdem illius magistri scholas alterum ab altero discipulo conscripta sunt. quod si cui mirum

uidebitur, examinet quae uterque de Platonis apologia disserit p. 53, 8—26 et 95, 19 sq. (ubi Xenopho ita admiscetur ut nescias utrum eius commentarii Socratici an apologia spuria spectentur): prior accurate quae audiuerat reddit, alter neglegenter audita inepte recoquit balbutitque ut ignari facere solent. sed etiam prioris commentarioli scriptor est ubi discipulum se monstret, ueluti in propositione p. 46, 1—5 non suo loco interposita. uel ex his discipulorum scriptis fructum ferimus. ad manum illis exempla fuerunt Iliadis, Thucydidis, Demosthenis orr. XIV. XV. XVIII. XIX, non fuerunt Aeschinis, Platonis, Xenophontis, ex quibus quae tractantur memoriter adferuntur. neque fallitur spes ex exemplis primi p. Chr. saeculi aliquid utilitatis redundaturum esse. pluribus Demosthenis lectio glossematis liberatur: uelut quod or. XIV 11 traditur *ἐὰν ἡμᾶς ἀδικεῖν ἐπιχειρῇ* (sc. rex Persarum), nunc p. 93, 3 discimus olim scriptum fuisse *ἐὰν ἡμᾶς πιέσῃ*. Homeri lectio plerumque uel in minutiis cum Aristarchea conspirat. Quod summum est, hi quattuor tractatus cum ex ipsa schola florentissimi saeculi prodierint, miro modo quasi ad officinam artis disciplinaeque ueteris aditum nobis aperiunt.

Codicis Parisini, quem unum esse lectionis fontem dissertationis de Dionysii Hal. libris manuscriptis p. IV sq. docui, priorem partem olim mea causa Carolvs Gravx, alteram inde a cap. VIII Philippvs Kohlmann diligenter contulerant: ego utramque non sine spicilegio retractaui. Semel moneo ibi non solum initia capitum sed etiam grauiora quaeque litteris maiusculis quas unciales uocamus scribi, in margine saepe argumenti capita indicari et numeris adpositis ordinem tractationis significari. uariam lectionem non raro librarius ipse in margine adnotauit. corrector archetypo usus est. manus uetus fortasse correctoris inde a f. $30^{r}$ (huius editionis p. 109, 9) usque ad f. $36^{v}$ (p. 132, 19) certis interuallis $\overset{\lambda}{\varphi\upsilon}$ aut $\overset{\lambda\lambda}{\varphi\upsilon}$ adnotare solet i. e. *φύλλον*. quodsi interuallum accuratius obserues, aequatur codicis Parisini paginae uni et decem fere uersibus uel XLV uersi-

bus huius editionis. apparet igitur quo loco singulae codicis archetypi schedae finiantur indicari.

Ex apographis codicem Guelferbytanum et Venetum Marcianum n. 508 a Rvdolpho Schoellio mihi excussum elegi, non ut eorum sordibus adnotationem onerarem, sed ut lectionis cum uolgatae tum emendatae fontes indicare possem. qua causa etiam editio princeps Aldi Manutii ceteraeque quae eam secutae sunt adhibendae erant. tribus illis uiris doctissimis, quorum officio debui ut huic libro recensendo operam darem, Gravx Kohlmann Schoell iam praematura morte abreptis aegerrime fero quod libro tandem edito gratum animum testari non licuit.

Inter editores post Fridericum Sylburgium meritissimus fuit Henricvs Avgvstvs Schott: qui si codice Parisino usus esset et tam linguae graecae peritia quam iudicio praestitisset, uix quicquam mihi agendum reliquisset. non multum lucis Godofredus Henricus Schaefer in meletematis aut Godofredus Hermannus in Incredibilium libro (opusc. IV p. 351 sqq.) attulit, multa gauisus sum ab Hermanno Sauppio, cuius coniecturas E. Ziebarthius nuper Philologi t. LIII (noui ordinis VII) p. 433 sq. edidit, mihi subrepta esse. utilissimum mihi fuit, quod proxima hieme hunc libellum seminarii nostri sodalibus pertractandum proposui, non solum quod secundae curae adhibendae erant, sed etiam quod fere nemo inter illos fuit quin coniecturis suis emendationem libri adiuuaret. a nullo profecto libentius discas quam a discipulo. postremo Lvdovicvs Radermacher cum in operarum erroribus castigandis mihi adesset, acutissimas aliquot obseruationes adiecit.

Hoc quoque sodalibus seminarii debetur quod indices nominum et uerborum subiungere licuit. in uerborum indice parando, cuius illi quasi fundamentum quoddam iecerant, adfuit mihi etiam Gualterus filius. quem indicem etiamsi doleo longe a perfectione abesse, tamen sic quoque utilem gratumque uiris doctis fore spero.

Bonnae non. sept. a. MDCCCXCV

# I

# ARTIS

# GENERIS DEMONSTRATIVI

## CAPITA SELECTA

---

I *τέχνη περὶ τῶν πανηγυρικῶν*
II *μέθοδος γαμηλίων*
III *μέθοδος γενεθλιακῶν*
IV *μέθοδος ἐπιθαλαμίων*
V *μέθοδος προσφωνηματικῶν*
VI *μέθοδος ἐπιταφίων*
VII *προτρεπτικὸς ἀθληταῖς*

---

| | |
|---|---|
| P | codex Parisinus 1741 f. 1 |
| G | codex Guelferbytanus 14 f. 1 |
| l | uaria lectio exemplo Sylburgiano Lipsiensi adnotata a Schaefero in meletematis excerpta |
| a | editio princeps Aldi Manutii 1508 |
| s | editio Roberti Stephani 1547 |
| Sylb | editio Sylburgii Francof. 1586 |
| h | editio Hudsonis |
| r | editio I. I. Reiskii nomine publicata |

# I

## *Τέχνη περὶ τῶν πανηγυρικῶν*

225 *Πανηγύρεις εὕρημα μὲν καὶ δῶρον θεῶν εἰς ἀνά-
παυσιν τῶν περὶ τὸν βίον αἰεὶ πόνων παραδιδόμεναι,
ὥς που ὁ Πλάτων φησίν, οἰκτειράντων τῶν θεῶν τὸ
ἀνθρώπειον ἐπίπονον γένος· συνήχθησαν δὲ ὑπὸ ἀν-
θρώπων σοφῶν, κατεστάθησαν δὲ ὑπὸ πόλεων κοινῇ
226 κοινῷ δόγ|ματι εἰς τέρψιν καὶ ψυχαγωγίαν τῶν παρόν-
των. συντέλεια δὲ ἡ εἰς τὰς πανηγύρεις ἄλλη ἄλλων·
παρὰ μὲν τῶν πλουσίων δαπάναι χρημάτων, παρὰ δὲ
τῶν ἀρχόντων κόσμος περὶ τὴν πανήγυριν καὶ τῶν
ἐπιτηδείων εὐπορία· οἱ δὲ ἀθληταὶ τῇ ῥώμῃ τῶν σω-
μάτων κοσμοῦσι τὴν πανήγυριν, καὶ ὅσοι γε δὴ Μουσῶν*

5 Plato leg. II p 653[cd]

2 † *ΤΕΧΝΗ ΠΕΡΙ ΤΩΝ ΠΑΝΗΓΥΡΙΚΩΝ* ∵ hoc solum inscripsit P[1] supra antiquam inscriptionem manus recentior fere saeculi XII scriptoris nomen ex f 29[v] sumptum posuit nunc partim detritum partim cultello resectum *ΔΙουνσιου α....[ρ]νασεοσ*, in mg dextro superiore m rec s. XIV hunc indicem capitum dedit *μέθοδοι πανηγυρ(ικῶν) γαμηλίων γενεθλιακῶν ἐπιθαλαμίου προσφωνηματικῶν ἐπιταφίων προτρεπτικὴ ἀθληταῖς*, quem paucis mutatis pro titulo uenditat G 3 *πανήγυρις* P: correxit G 4 *αἰεὶ πόνων*] *μειζόνων* P *πόνων* ex Platone Sylburgius Hermannus *ὀιζυρῶν* Iacobsius ad anth. Pal. t. III p 297 | *παραδιδόμενα* P *διδόμεναι* G *παραδιδομένη* a 6 *ἀνθρώπειον* P *ἀνθρώπειον καὶ* G *ἀνθρώπων* Sylburgius 9 *ἄλλη ἄλλων* Schaeferus: *ἀλλήλων* P *ἄλλη παρ᾽ ἄλλων* Sylburgius 13 *κοσμοῦσιν* a

καὶ Ἀπόλλωνος ὀπαδοί, τῇ μουσικῇ τῇ παρ' ἑαυτῶν. ἀνδρὶ δὲ περὶ λόγους ἐσπουδακότι καὶ σύμπαντα τὸν ἑαυτοῦ βίον ἀνατεθεικότι τούτοις πρέποι ἂν οἶμαι τοῖς τοιούτοις λόγοις κοσμεῖν τὴν πανήγυριν, τέχνῃ μετιόντι τὸν λόγον, ὡς μὴ κατὰ τοὺς πολλοὺς εἴη αὐτῷ γινόμενος. φέρε οὖν εἰς τοῦτο, ὦ Ἐχέκρατες, λέγωμέν σοι, ὥςπερ ὁδοῦ τινος ἀστιβοῦς τοῖς πολλοῖς ἡγεμόνες γιγνόμενοι, ἃ πάλαι παρὰ τῶν πατέρων τῆς ἡμεδαπῆς σοφίας παραλαβόντες ἔχομεν, ἐκεῖνοι δὲ καὶ οἱ ἔτι τούτων ἀνωτέρω παρ' Ἑρμοῦ τε καὶ Μουσῶν λαβεῖν ἔφασαν οὐ μείον' ἢ ὁ | Ἀσκραῖος ποιμὴν [ποίησιν] 227
2 παρὰ τῶν αὐτῶν τούτων ἐν τῷ Ἑλικῶνι. ἴθι οὖν σὺν τέχνῃ οὑτωσὶ μετιὼν τοὺς λόγους.

Θεὸς μέν γέ που πάντως πάσης ἡςτινοςοῦν πανηγύρεως ἡγεμὼν καὶ ἐπώνυμος, οἷον Ὀλυμπίων μὲν Ὀλύμπιος Ζεύς, τοῦ δὲ ἐν Πυθοῖ Ἀπόλλων. ἀρχὴ μὲν δὴ τοῦ λόγου τοῦδε τοῦ θεοῦ, ὅςτίς ποτ' ἂν ᾖ, ἔπαινος ἡμῖν γιγνέσθω, ὥςπερ πρόσωπόν τι τηλαυγὲς προκείμενος τοῦ λόγου. ἐπαινέσεις δὲ ἀπὸ τῶν προσόντων τῷ θεῷ· εἰ μὲν Ζεύς, ὅτι βασιλεὺς θεῶν, ὅτι τῶν ὅλων δημιουργός· εἰ δὲ Ἀπόλλων, ὅτι μουσικῆς εὑρετής, ὅτι ὁ αὐτὸς Ἡλίῳ, Ἥλιος δὲ πάντων πᾶσιν ἀγα-

11 cf Hesiodus theog. 22—34 18 Pindarus Olymp. 6, 3 ἔργου πρόσωπον χρὴ θέμεν τηλαυγές

4 λόγοις del Hermannus | τὴν] . . . τὴν tribus litteris erasis P 5 ὡς ⟨ἂν⟩ Sauppius | γενόμενος G 6 λέγωμεν cum litura supra ω P fort ἐνέγκωμεν? 8 ἃ Schottus: ἣν P 9 ἐκεῖν[οι] etiam acuto in circumflexum mutato $P^2$ 10 ἀνώτεροι ex ἀνωτερω $P^2$ 11 μεῖον P | ποίησιν glossema expunxi. quod si retineas, v. 12 τούτων ⟨λαβὼν⟩ ἐν scribendum erit | ἴσθι coni Schaeferus 13 οὑτωσὶ ex οὕτωσ εἰ P 18 γενέσθω a | προσωπεῖον P: corr Hudson 20 μὲν ex μὶν $P^2$ 21 ἀπόλλῶ $P^1$ ἀπόλλω $P^2$

θῶν αἴτιος· εἰ δὲ Ἡρακλῆς, ὅτι Διός, καὶ ἃ παρέσχεν τῷ βίῳ. καὶ σχεδὸν ὁ τόπος συμπληρωθήσεται ἐξ ὧν ἕκαστος ἢ εὗρεν ἢ παρέσχεν τοῖς ἀνθρώποις. ἐν βραχεῖ δὲ ταῦτα, ὡς μὴ τοῦ ἐπιόντος ὁ λόγος ὁ προάγων μείζων γίγνοιτο. |

228 Ἐφεξῆς ἐπιέναι χρὴ τὸν ἔπαινον τῆς πόλεως, ἐν 3
ᾗ ἡ πανήγυρις· περὶ θέσεως αὐτῆς, περὶ γενέσεως· ἐν ᾧ τίς ὁ κτίστης θεὸς ἢ ἥρως, καὶ εἴ τι ἔχεις περὶ αὐτοῦ εἰπεῖν· εἴ τι πέπρακται τῇ πόλει ἢ ἐν πολέμοις ἢ ἐπ᾽ εἰρήνης. ἁρμόσει δὲ καὶ περὶ μεγέθους λέγειν, εἰ μεγάλη, ἢ ⟨εἰ⟩ σμικρά, ὅτι κάλλει διαφέρουσα, ὅτι εἰ καὶ σμικρά, ἀλλὰ δυνάμει ἰσοῦται ταῖς μεγάλαις. ὅσα περὶ κόσμου, οἷον ἱερῶν ἢ τῶν ἐν τούτοις ἀναθημάτων, δημοσίων οἰκοδομημάτων, ἰδιωτικῶν, ὥς που καὶ Ἡρόδοτος πεντώροφα καὶ ἑξώροφα φησὶν εἶναι ἐν Βαβυλῶνι· ἂν ποταμὸς ᾖ μέγας ἢ καθαρὸς ἢ συμβαλλόμενος τοῖς ἐνοικοῦσι τὴν χώραν· εἰ δὲ δὴ καὶ μῦθος εἴη λεγόμενός τις περὶ τῆς πόλεως, οὕτω μὲν ἂν καὶ πολλὴν γλυκύτητα ἔχοι ὁ λόγος.

Λεκτέον δὲ ἐπὶ τούτοις καὶ περὶ αὐτοῦ τοῦ ἀγῶνος, 4
229 τίς ἀρχὴ καὶ κατάστασις αὐτοῦ ἢ ἐφ᾽ οἷς τισιν ἐτέ|θη, 21
εἴτε μῦθός τις εἴη εἴτε ἄλλό τι ἀρχαῖον. ἐν τούτῳ δὲ γενόμενος μὴ ἁπλῶς παρέλθῃς τὸν τόπον, ἀλλὰ παρα-

15 Herodotus I 180 τὸ δὲ ἄστυ — πλῆρες οἰκιέων τριωρόφων τε καὶ τετρωρόφων

1 et 3 παρέσχε/// P² 2 συγκληρωθήσεται P: corr G 10 ἁρμόσοι P 11 ἢ εἰ] ἢ P εἰ δὲ Schottus | ὅτι οὐ κάλλει P sed οὐ pallidiore est atramento, deletum uoluit corrector 12 καὶ σμικρὰ ἀλλὰ omissa supra uersum add P² 13 κόσμου P: κόσμον G¹ κόσμων G² cf p 8, 13 sq 15 πεντόροφα καὶ ἑξόροφα uolgo 19 ἔχει P 22 ἤ τι ἄλλο ante Schottum edebatur

βαλεῖν χρὴ πρὸς τοὺς ἄλλους ἀγῶνας. τοῦτο δ' εὐπορήσεις τῷ λόγῳ, οἷον ἀπὸ καιροῦ παραβάλλων· εἰ μὲν πρὸς ἔαρ ἄγοιτο, ὅτι ἐν τῷ συμμετροτάτῳ πρὸς ἑκάτερα· εἰ δὲ ἐν χειμῶνι, ὅτι ἐν τῷ ἐρρωμενεστάτῳ καὶ ἀνδρειοτάτῳ, ὡς ἂν εἴποι τις, καιρῷ· εἰ δ' ἐν θέρει, ὅτι πρὸς ἄσκησιν καὶ ⟨ἡ⟩ θεωρία τῶν θεωμένων κατεστάθη, καὶ ὅτι ἔλεγχος τῆς προαιρέσεως, ὡς καὶ μὴ ὄντων ἀθλητῶν τοὺς θεωμένους ἀγωνίζεσθαι. ἔχοις δ' ἂν καὶ τὸ φθινόπωρον ἐπαινεῖν καὶ [ὅτι] ἀπὸ συγκομιδῆς τῶν καρπῶν καὶ ἀπὸ τοῦ ἤδη παύεσθαι τοὺς ἀνθρώπους τῶν πόνων.

5 Σκοπεῖσθαι δὲ καὶ τὸν τρόπον τῆς διαθέσεως τοῦ ἀγῶνος δεῖ. εἰ μὲν μουσικὸς καὶ γυμνικὸς εἴη, ὅτι τελεώτατος ὁ ἀγὼν καὶ ἀνενδεῶς κεκραμένος καὶ ῥώμῃ| σωμάτων καὶ καλλιφωνίᾳ καὶ τοῖς λοιποῖς μέρεσι τῆς 230 μουσικῆς· εἰ δὲ γυμνικός, ὅτι τὴν μουσικὴν ὡς ἐκθηλύνουσαν τὴν ψυχὴν παρῃτήσατο, τὴν δὲ ῥώμην τῶν σωμάτων παρέλαβεν, καὶ ὅτι ὁ τρόπος τῆς ἀγωνίας χρήσιμος πρὸς τὴν ἀνδρείαν τὴν ἐν τοῖς πολέμοις.

6 Μὴ παρέργως δὲ μηδὲ αὐτὸν τὸν στέφανον παρέλθῃς, ὅςτις ἐπῇ (οὐδὲ γὰρ ἐν τούτῳ γενόμενος ἀπορήσεις ἐπαίνου)· τὴν μὲν δρῦν, ὅτι ἱερὰ Διός, καὶ ὅτι ἡ πρώτη καὶ πρεσβυτάτη τροφὴ τῶν ἀνθρώπων, καὶ ὅτι οὐκ ἄφωνος, ἀλλὰ καὶ ἐφθέγξατό ποτε ἐν

22 scholii recentioris nil dispiciebam nisi media fere uerba τὴν δρῦν

1 τούτου Schottus 6 ἄσκησιν καὶ θεωρίαν P: correxit Theodorus Nissen cf Horati a. p. 413 7 ὡς καὶ μὴ $P^2$: ὅτι μὴ $P^1$ καὶ μὴ G 9 ὅτι damnauit Sylburgius cf p 15, 22 16 ἐκθηλύνουσαν supra uersum $P^2$: ἡδύνουσαν $P^1$ 18 παρέλαβε uolgo 21 ὅστισ εἴη P tu cf p 7, 12

*Δωδώνῃ. εἰ δὲ ἐλαία, ὅτι ἱερὰ τῆς Ἀθηνᾶς, καὶ ὅτι ἄκος πόνων, καὶ ὅτι τὰ τρόπαια ἀπὸ τούτου τοῦ φυτοῦ ἀνέθεσαν οἱ παλαιοί, καὶ ὅτι τῆς νίκης τοῦτο σύμβολον τὸ φυτόν, καὶ ὅτι ἡ Ἀθηνᾶ τούτῳ πρώτῃ ἐστέψατο νικήσασα τὸν Ποσειδῶνα, καὶ ὅτι οἰκειότατον τοῖς ἀγωνιζομένοις (τὰ γὰρ γυμνάσια διὰ τοῦ ἐλαίου διαπονεῖται), καὶ ὅτι συναγωνίζεται πρὸς τὸν λόγον δι' οὗ πανηγύρεις κοσμοῦνται. καὶ τὴν δάφνην δὲ*
231 *ἐρεῖς ὅτι καὶ ἱερὰ τοῦ Ἀπόλλωνος καὶ | μαντικὸν τὸ φυτόν· εἰ δὲ βούλει καὶ τοῦ μύθου ἐφάπτεσθαι τοῦ περὶ τῆς Δάφνης, οὐδὲ τοῦτό σοι ἄπο τρόπου εἴη ἂν εἰρημένον. ὁμοίως δὲ καὶ ἕτερον εἰ ἐπείη, οἱονεὶ καρποὶ Δημητριακοὶ ἢ πίτυς, εὐπορήσεις που καὶ περὶ τούτων ἑκάστου. οὐκ ἔξω δὲ φιλοτιμίας οὐδὲ τὸ παραβαλεῖν τὸν στέφανον πρὸς τοὺς παρ' ἄλλοις.*

*Ὁ δέ σοι τοῦ παντὸς λόγου οἱονεὶ κολοφὼν ἐπήχθω* 7
*τοῦ βασιλέως ἔπαινος, καὶ ὅτι τῷ ὄντι ἀγωνοθέτης πάντων ἀγώνων ὁ τὴν εἰρήνην πρυτανεύων, δι' ἣν καὶ τοὺς ἀγῶνας ἐπιτελεῖν οἷόν τε. ἤδη δέ τινες καὶ τοὺς διατιθέντας τοὺς ἀγῶνας ἐπῄνεσαν, εἰ ἄρα ἔνδοξοί τινες οὗτοι, ὅτι καὶ ἐν ἄλλοις πρότερον γενόμενοι χρήσιμοι, καὶ ἐν τούτοις ὅτι φιλοτιμότατοι. εἰ δὲ μὴ ἄλλα ἔχεις πρεσβύτερα, ὅτι ἀρχὴ τῆς φιλοτιμίας*
232 *τῆς περὶ τὴν πα|τρίδα μεγίστη καὶ Ἑλληνικωτάτη.*

7 sq *καὶ οἱ λόγοι τοῦ Δημοσθένους ἐλλυχνίων ἀπόζουσιν.* scholion saec XIV

1 *ἐλαῖα* P 4 *τούτω πρώτω* P *τούτῳ τῷ τρόπῳ* l Schaeferus 7 *διαπονεῖται* *laborant* medii generis est ut saepe, itaque caue substituas *διακονεῖται* 11 *ἄπο* sic P 12 *οἱονεὶ*] *οἷον οἱ* P cf p 16, 1 13 *ἡ πιστουσ* P *εἰ πίστεως* G: corr Hudson | *εὐπορήσεις* PG: *εὐπορήσεις δέ* uolgo 16 *οἷονεὶ* P 22 *φιλοτιμώτατοι* $P^2$ 23 *ἀλλὰ* $P^1$

*Ἡ δὲ λέξις ἄλλη μὲν κατὰ τὴν ἑκάστων φύσιν ἢ*
8 *βούλησιν. εἰ δὲ δὴ κρατεῖν χρὴ τὴν ἐμὴν γνώμην, οὐ μονότροπον ταύτην συμβουλεύσαιμ' ἂν εἶναι ἀλλὰ ποικίλην καὶ μεμιγμένην, καὶ τὰ μὲν ⟨ἐν⟩ τῇ ἀφελείᾳ προάγοντα, τὰ δὲ ἐν ἀντιθέτοις τε καὶ παρισώσεσιν Ἰσοκράτους, τὰ δ' ἐν διῃρμένοις. ταύτην γὰρ τὴν ὁδὸν καὶ τὸν τοῦ ἡμεδαποῦ χοροῦ ἡγεμόνα τε καὶ κορυφαῖον οἶδα μετιόντα ⟨πάντῃ⟩ ὡς ἔπος εἰπεῖν ἢ ἐν τοῖς πλείστοις, εἰ μή τι πρὸς εἶδος γράφειν τι προὔθετο· ἑκάστης δὲ ἰδέας ἔδωκεν ἡ ὕλη τὴν ἀφορμήν. δεῖ δὲ τοῖς νοήμασιν ἐπακολουθοῦσαν καὶ τὴν ἑρμηνείαν ἐπάγειν, οἷον τὰ μὲν ἀφηγηματικὰ καὶ μύθου τινὸς ἐχόμενα ἀφελῶς προάγοντα· ὅσα δὲ περὶ βασιλέων ἢ θεῶν, σεμνῶς· ὅσα δὲ περὶ παραβο|λῶν καὶ* 233
*συγκρίσεων, πολιτικῶς· εἰ μὴ ἄρα τις πρὸς τὸ ἀξίωμα ⟨μίαν⟩ τινὰ ἰδέαν λόγου διὰ πάντων παρέχοιτο· ἐπιδεικτικώτερον δὲ τὸ προειρημένον καὶ δημοτερπέστερον.*

## II

## *Μέθοδος γαμηλίων*

*Ἐμοὶ μὲν ἦν τερπνὸν αὐτὸν παρόντα καὶ συγχορεύοντα καὶ ἀναβακχεύοντα μετὰ σοῦ τῆς φίλης ἐμοὶ*

1 *μὲν ⟨ἄλλων⟩* Schottus *⟨ἄλλοτε⟩ μὲν* Schaeferus 2 *δὴ* G: *δεῖ* P 4 *ἐν* inserui | fort *ἀφελεῖ* 5 lege *προάγοντι* cf u 13 6 *δ' ἐν* Schaeferus: *δὲ* P | *διῃρμένους* P¹: *διῃρημένους* P² *διῃρημένοις* G 8 *πάντῃ* inserui ἢ *πανταχοῦ* Schottus 9 *τι πρὸς* Pa: *τις πρὸς* s, uolgo. alterum *τι* non recte suspectaueris 10 *ἔδωκεν*] *ἔοικεν* P cui supplendo *παρέχειν* post *ἀφορμὴν* inseruit Schottus auctore Sylburgio, *χορηγεῖν* Schaeferus 12 *οἷον* P: *οἷα* G 15 *πρὸστὸ ἀξίαν τινὰ* PG: *πρὸς τὴν ἀξίαν τινὰ* uolgo 16 *π[αν]των* cum litura P 19 titulum om G uolg. scriptor ipse non *γαμηλίους* dicit sed *γαμικούς* p 19, 5. 17, 23 20 *αὐτοῖσπαρόντα* P: corr Ga

κεφαλῆς ὑμνεῖν τε καὶ ἀνυμνεῖν τὸν μικρὸν ὕστερον
ἐπιτελεσθησόμενον γάμον καὶ ᾄδειν γε τὸν ὑμέναιον
τὸν ἐπὶ τοῖς γάμοις πρέποντα λέγεσθαι. ἐπεὶ δὲ ἔοικεν
δεσμός τις οὗτος ὁ πρὸς τοῖς λόγοις καὶ τῇ παιδεύσει
τῇ παρούσῃ διαιρεῖν ἡμᾶς τοῖς σώμασιν καὶ τοῖς τόποις
ἀπ᾿ ἀλλήλων (μὴ γὰρ δὴ ταῖς ψυχαῖς τε καὶ διαθέσεσιν
καὶ εὐνοίαις ταῖς ἐπ᾿ αὐταῖς χωρισθείημέν ποτε), ἀλλ᾿ |
234 οὖν ἔστω σοι ὥςπέρ τι δῶρον παρ᾿ ἐμοῦ εἰς συντέ-
λειάν τε καὶ κόσμον τῶν γάμων τὸ μηδὲ τῶν περὶ τού-
των εἰωθότων λέγεσθαι μηδὲ αὐτῶν ἀπείρως ἔχειν, εἴτ᾿
οὖν αὐτὸς καὶ παρὰ σεαυτῷ φυλάττειν βούλοιο εἴτε καὶ
ἑτέρῳ τινὶ τοῦτον οἷον ἔρανόν τινα εἰς χάριν συνεισ-
φέρειν. τάχα μὲν οὖν καὶ αὐτὸς ἤδη ποτὲ καὶ ἄλλοτε
προανεκρούσω ἐν τοῖς τοιούτοις τῶν λόγων, ὁπηνίκα
κομιδῇ νέος ὢν παρ᾿ ἐμοὶ τὴν πρώτην ὁδὸν τῶν ῥητο-
ρικῶν μετῄεις, τά τε ἄλλα γράφων καὶ συγγράφων
γυμνάσματά τε καὶ ἀσκήματα τῆς ῥητορικῆς, καὶ δὴ
καὶ τὰς θέσεις οὕτω λεγομένας, καὶ τούτων τὰ εἰς τὸν
περὶ αὐτοῦ τοῦ γάμου λόγον συντείνοντα καὶ τὴν
προτροπὴν τὴν εἰς αὐτόν. προκεχείρισται γὰρ ἐν τοῖς
μάλιστα καὶ τοῦτο πρὸ πάντων τοῖς νεωτέροις εἰς
γραφήν, εἰ γαμητέον. οὐ πόρρω δὲ οὐδ᾿ ὁ νῦν ὑφ᾿
ἡμῶν προχειριζόμενος λόγος τῆς περὶ τὰς τοιαύτας
235 ἰδέας τῶν λόγων θήρας. ἀμέλει | γε τοιοῖςδε τόποις,
οἷς πέρ που καὶ ἐν ταῖς θέσεσιν ** ἀπὸ θεῶν, καὶ ὅτι

3 δ᾿ ἔοικε uolgo 4 δεσμοῖς $P^1$ 6 διαθέσεσι/// $P^2$ 7 εὐνοίαις P: ἐννοίαις a, uolg 8 συντελείαν ex συντέλειαν corr $P^2$ 10 μὴ δὲ αὐτῶν P | εἰτοῦν P 11 καὶ ante παρὰ del Sauppius 14 τὸν λόγον P 15 κομιδη P κομιδῇ rec $P^2$ 20 εἰς αὐτὰ P: corr Schottus 22 οὐδὲ νῦν ὁ ὑφ᾿ Pa 24 γέ τοι οὐδὲ τούτοισ οἷσπερ Pa γε τοιούτοις οἷς περ G 25 hiatum indicaui: intercidit χρησόμεθα, fortasse plura

οὗτοι οἱ εὑρόντες καὶ δείξαντες τοὺς γάμους τοῖς ἀνθρώποις· Ζεὺς γὰρ καὶ Ἥρα, πρῶτοι ζευγνύντες τε καὶ συνδυάζοντες· οὕτω τοι ὁ μὲν καὶ πατὴρ καλεῖται πάντων, ἡ δὲ Ζυγία ἀπὸ τοῦ ζευγνύναι τὸ θῆλυ τῷ ἄρρενι, καὶ ἀπὸ τούτων τῶν θεῶν καὶ ὁ τῶν λοιπῶν θεῶν χορὸς παρῆλθεν εἰς τὸν βίον τῶν ἐπιφημισθέντων τοῖς γάμοις, γαμηλίων τε καὶ γενεθλίων οὕτως ὀνομαζομένων· καὶ ὅτι ὁ γάμος αἴτιος τοῦ τε ὀνομασθῆναι τούτους τοὺς θεοὺς καὶ τιμᾶσθαι· ἄνευ γὰρ τῶν γάμων οὐδ᾽ ἂν αἱ τιμαὶ τούτων παρῆλθον εἰς ἀνθρώπους.

3 Ἐφεξῆς ἐπάγειν χρὴ τὸν περὶ τῆς φύσεως λόγον, καὶ ὅτι τοῦτο αὐτῆς ἔργον, τὸ γεννᾶν τε καὶ κυΐσκειν· καὶ ὅτι διῆλθεν διὰ πάντων τὸ ἔργον αὐτῆς καὶ ζῴων καὶ φυτῶν. εἶτα τὴν διαφορὰν ἐπάξομεν τῆς ἐν τοῖς ἀνθρώποις μίξεως καὶ κοινωνίας, ὅτι τὰ μὲν | ἁπλῶς 236 καὶ ὡς ἔτυχεν μίγνυται, ὁ δὲ ἄνθρωπος τάξιν τινὰ καὶ νόμον ἐξεῦρεν τοῦ γάμου, οὐκ ἀγεληδὸν δίκην θηρίων ἐπιτρέπων μίγνυσθαι, ἀλλὰ σύμμιξιν καὶ κοινωνίαν δυοῖν τὴν προσφορωτάτην εἰς ἅπαντα τὸν βίον μεμηχανημένος. ἐν ᾧ, ὅτι τοῦ μὲν θηριώδους καὶ πεπλανημένου βίου ἀπηλλάγησαν, βίον δὲ ἥμερον καὶ τεταγμένον ἔσχον διὰ τοῦ γάμου· καὶ ὅτι θνητὸν ὄν γε τὸ ἀνθρώπειον ἐκ τῆς μίξεως καὶ κοινωνίας τοῦ γάμου ἀθάνατον γέγονεν, ἐκ τῆς διαδοχῆς τῶν ἐπιγι-

2 Ζεύς τε καὶ Hermannus deleto u 1 οὗτοι οἱ 3 συνδυάζοντες οὕτωτοι· ὁ μὲν sic distinguit P 6 τῶν ἐπι ἐπιφημισθέντων P¹ 9 exspectes καὶ ⟨τοῦ⟩ τιμᾶσθαι 10 οὐδὲ ἂν P 13 διῆλθε uolgo | τῶν ἔργων P: corr Sylburgius 16 ἔτυχε ut 17 ἐξεῦρε uolgo 18 κοινωνίαι P¹ 19 τοῖν προσφορωτάτοιν P: corr Thuanus 20 μηχανώμενος G 22 ὅν γε P 23 γε] γένος Schaeferus, delebat Hermannus 24 uolgo non post γέγονεν sed post ἐπιγινομένων distinguebatur

*νομένων ὥςπερ φῶς ἀναπτόμενον καὶ διαδιδόμενον καὶ
τοῖς ἐπιγιγνομένοις τῇ γεννήσει τοῦ ἀνθρώπου καὶ
μήποτε ἀποσβεννύμενον. καὶ τοῦτον ἄν τις εἴποι δι-
καίως ἔρανον κάλλιστον οὐ χρημάτων οὐδὲ κτημάτων
τινῶν, ἀλλ' αὐτῆς τῆς φύσεως καὶ τοῦ γένους.*

*Εἶτα ἐξετάσεις ἐπὶ τούτοις, ὅσα προσγίνεται τοῖς* 4
*γεγαμηκόσι. πρῶτον μὲν πρὸς δόξαν, ὅτι ἐνδοξότεροι*
237 *τὸ κάλλιστον μέρος τῆς ἀρετῆς εὐθὺς ἀπὸ τῶν | γάμων
ἀρχόμενοι καρποῦσθαι, τὴν σωφροσύνην· ὁ γὰρ γάμος
εὐθὺς καὶ σωφροσύνης δόξαν περιτίθησι τοῖς ἀνθρώ-
ποις, καὶ οἱ τοιοῦτοι δοκοῦσιν τῆς μὲν ἀτάκτου μίξεως
ἀπηλλάχθαι, πρὸς δὲ μίαν ἀφορᾶν μόνην τὴν ἑαυτοῦ
ἕκαστος γυναῖκα· ἐκ δὲ τούτου καὶ ἐντιμοτέρους ἀνάγκη
γίγνεσθαι τοὺς ἀνθρώπους καὶ πιστοτέρους δοκεῖν καὶ
εὐνουστέρους περὶ τὰς αὐτῶν πατρίδας ἐν παντὶ διὰ
τὸ ὥςπερ ὅμηρα δεδωκέναι ταῖς πατρίσι τοὺς ἑαυτῶν
παῖδας, δι' οὓς ἀναγκαῖον καὶ μᾶλλον εἰς τὰς συμ-
βουλίας παραλαμβάνεσθαι.*

*Καὶ πρὸς λύπας δὲ καὶ τὰ δυςχερῆ τὰ ἐν τῷ βίῳ* 5
*γάμος χρησιμώτατος, κουφότερα ταῦτα παρασκευάζων
ὥςπερ φορτία, μεταδιδόντων ἡμῶν ταῖς ἑαυτῶν γυ-
ναιξὶν τῶν δυςχερῶν καὶ τῇ κοινωνίᾳ παρηγορουμένων.*
238 *ἐν δὲ τούτῳ καὶ τὰ ἡδέα ἀνάγκη τερπνότερα | φαίνε-
σθαι, μὴ αὐτῶν ἐφ' ἑαυτῶν εὐφραινομένων, ἀλλὰ ἐχόν-
των καὶ τοὺς συμπανηγυρίζοντας καὶ τοὺς συνευφραι-*

1 *διαδιδόμενον*] *διαμένον* P cf Plato rei p. I p 328 a leg. VI p 776 b Lucretius II 79 al | *καὶ τοῖς*—2 *ἀνθρώπου* deleuit Schottus 2 *ἐπιγινομένοις* G s 5 *γένους*] *γάμου* Schottus 6 *εἶτα* P ut semper 11 *δοκοῦσι* uolgo 14 *γίνεσθαι* a 15 *αὐτῶν* PG: *αὐτὰς* s, uolgo 19 *λύπας τε καὶ* P | *καὶ τὰ* PG: *καὶ* a, uolgo 21 *γυναιξὶ* uolgo 22 *τῆς κοινωνίας* P: corr Schottus *ταῖς κοινωνίαις* Sylburgius 24 *ἀλλ'* uolgo

νομένους παῖδάς τε καὶ γυναῖκας καὶ τοὺς ἄλλους συγγενεῖς· καὶ ἑορταὶ δὲ καὶ πανηγύρεις διὰ τοῦτο τερπναί, ὅτι ἐν πολλοῖς γίγνονται. ἀνάγκη δὲ ἐκ τούτων καὶ τὰς συγγενείας αὐξάνεσθαι. καὶ ὅτι ἐκ τούτου πρῶτον μὲν συνοικίαι ἐγένοντο, εἶτα καὶ κῶμαι, εἶτα καὶ πόλεις. ἐκ δὲ τῶν ἐπιγαμιῶν καὶ ἡ γνῶσις πλείων καὶ ἡ συγγένεια ὑπερορίοις. ἤδη παραθετέον καὶ μνηστέον καὶ ἐνδόξων γάμων ἢ ἀρχαίων, καὶ ὅσα ἀπὸ τούτων ἀγαθὰ ἐγένετο τοῖς ἀνθρώποις, καὶ ὅση ἀποτροπὴ τῶν δυσχερῶν διὰ γάμου, οἷον ὅτι Μενέλεως ἀθάνατος ἐγένετο διὰ τὸν γάμον τῆς Ἑλένης καὶ ὁ Πηλεὺς διὰ τὸν τῆς Θέτιδος, καὶ ὁ Ἄδμητος διὰ τὴν Ἄλκηστιν τὸν ἐκ τῆς εἱμαρμένης θάνατον διέφυγεν.

6 Ἐπειδὰν δὲ ἱκανῶς περὶ τούτων διέλθῃς, εὐχῇ χρηστέον ἀγαθῶν μὲν αἴτησιν ἐχούσῃ περὶ τὸν γάμον καὶ τὰς παιδοποιίας, ἀποτροπὴν δὲ τῶν κακῶν. εἶτα δια|τυπωτέον λόγῳ οἷον προαναφωνοῦντα, ὁποῖος ἂν 239
ὁ βίος ὁ μετὰ τῶν παίδων γένοιτο, ὅτι τερπνότατος χορὸς παίδων οἱ γένοιτο γέροντι, καὶ ὅτι τρόπον τινὰ ἐξ ἀρχῆς ἀνανεάζεσθαι αὐτὸν καὶ ἀνηβάσκειν σὺν τοῖς αὑτοῦ παισίν. ἐν τούτῳ δὲ ἀνάγκη καὶ ἀναμιμνήσκειν, ὧν ποτε καὶ αὐτὸς ἐν νεότητι ἐποίησεν· ἡδεῖα δὲ καὶ ἡ μνήμη τῶν ἐν παισὶν ἡμῖν πεπραγμένων· καὶ ὅτι οὐδὲν ἕτερόν ἐστι τὸ ποιοῦν ἐξ ἀρχῆς πάλιν βεβιωκέναι. εἰ δὲ εἰκόνα τις ὁρῶν ἑαυτοῦ ἄψυχον ἥδεται,

10 cf Homerus δ 563—569

3 γίνονται a, uolgo 6 ἐπιγαμιῶν sic P 7 πλείον P² 9 ὅση] ὡς ἡ P 14 δ' uolgo 15 περὶ τῶν γάμων καὶ τῆς P 19 οἱ] εἰ P | γέροντι Georgius Karo: ὁρῶντι P | ὅτι del Sauppius 20 ἀνανεάζεσθαι scil γένοιτο. Sylburgius ποιεῖ post αὐτὸν inserebat 21 αὐτοῦ P 22 δὲ ante Schottum omittebatur 25 ἥδεται ὅπου | ὅταν P¹ ὅπου del P²

⟨πόσῳ μᾶλλον ἡσθήσεται⟩, ὅταν καὶ μὴ ἄψυχον ταύτην ὁρᾷ ἀλλὰ καὶ ἔμψυχον, μηδὲ μίαν ἀλλὰ πολλάς, ἂν οὕτω τύχῃ; ἐπακτέον δὲ πάλιν καὶ ἐνταῦθα ἱστοριῶν τινων μνημονεύοντα, ὅσοι ἀπὸ παίδων εὐτύχησαν,
240 ὅσοι κακῶν ἀποτροπὰς εὕραντο, οἷον τῷ | Ἀγχίσῃ παρὰ τοῦ Αἰνείου. Δεῖ δὲ μηδὲ τὰ πρόσωπα τῶν γαμούντων τε καὶ γαμουμένων παρεῖναι, ἀλλὰ καὶ τούτων ἐπαίνους λέγειν. ποτὲ μὲν οὖν ἐν ἀρχῇ χρηστέον τῷ τόπῳ τούτῳ, ποτὲ δὲ καὶ ἐπὶ τέλει· ἐὰν μὲν οὖν πάνυ ἔνδοξα ᾖ, ἐν ἀρχῇ· ἐὰν δὲ ἥττονα, ὑπερβαλόντα καὶ
ἐπὶ πᾶσι λέγοντα. ὁ δὲ ἔπαινος ἅπερ ἐν τοῖς ἐγκω- 7
μίοις ἕξει, καὶ τόποι οἱ αὐτοὶ καὶ ⟨ἐκεῖ, ὁ⟩ ἀπὸ τῆς πατρίδος, ὁ ἀπὸ τοῦ γένους, ὁ ἀπὸ τῆς φύσεως, ὁ ἀπὸ τῆς ἀγωγῆς, καὶ ὅτι ἴσοι καὶ ὅμοιοι καὶ βέβαιοι ἀμφότεροι, καὶ ἐκ τοιούτων πατέρων καὶ προπατόρων· καὶ εἰ μὲν ἐκ τῆς αὐτῆς πατρίδος, ὅτι ἐκ πολλοῦ προσῳκειωμένοι ὑπὸ τοῦ τόπου· εἰ δὲ ἐκ διαφόρων, ὅτι καὶ ὑπὸ θεῶν συνήχθησαν εἰς τὴν κοινωνίαν. εἰ δὲ δὴ ἐκ τοῦ αὐτοῦ γένους εἰσίν, ὅτι αὔξησις καὶ οἰκειό-|
241 της συγγενείας ἄλλη ἐπ᾽ ἄλλῃ γέγονεν, καὶ δεσμὸς βεβαιότερος καὶ ἰσχυρότερος. ὅταν δὲ ἀπὸ διαφόρων ἐπιτηδευμάτων, ὃ μὲν ἀπὸ στρατείας, ὃ δὲ ἀπὸ παι-

1 hiatum suppleui Sylburgio monitore καὶ post ὅταν delebat Hermannus 3 ἀπακτέον P: corr Hudson | fort ἱστορίαν 5 τῷ Ἀγχίσῃ non temptaui. suspicor ante οἷον alterum exemplum beneficii (ὅσοι ἀπὸ παίδων εὐτύχησαν) intercidisse passiue conceptum 7 παρίέναι ci Sylburgius 9 τύπωι P: corr Sylburgius 10 ὑποβάλλοντα P ὑπερβάλλοντα Sylburgius 11 δ᾽ uolgo 12 αὐτοὶ καὶ ἀπὸ P αὐτοί, ὁ ἀπὸ Ga 14 καὶ ante ὅτι delebat Schottus 15 τούτων P: corr Sauppius | προπατέρων P: corr G 16 προσωικειωμένου P[1] 17 δ᾽ uolgo 19 αὔξησις τῆς συγγενείας καὶ οἰκειότης ἄλλη Schottus 20 ἄλληι ἐπαλληι P | γέγονε uolgo 21 et 22 δ᾽ uolgo 22 necessarium ᾗ δὲ

δείας, ὅτι ἁρμονία αὕτη ἀρίστη, τὸ εἰς ταὐτὸν σοφίαν τε καὶ ἀνδρείαν τελεῖν, καὶ οἵους εἰκὸς τοὺς ἀπὸ τούτων γενέσθαι.

8 Εἰ δὲ δὴ αὐτὸς εἴη ὁ γαμῶν ὁ τὸν λόγον διαθέμενος, περὶ αὐτοῦ τούτου προοιμιαστέον χαριέντως, ὥςπερ οὖν καὶ σοὶ ποιητέον, ὅτι εἰ καὶ οἱ ἐρασταὶ τὰ αὐτῶν παιδικὰ ἐπαινοῦσι, πολὺ δή που μᾶλλον αὐτῷ πρέπει τὸν γάμον ἐπαινεῖν ἢ τὰ ἑαυτοῦ παιδικά· καὶ ὅτι τῷ λόγῳ καὶ τῇ παιδείᾳ καὶ ἐπὶ τούτου χρηστέον, ὥςπερ ἤδη προοιμιαζόμενον καὶ προκαταμαντευόμενον περὶ τῶν παίδων, ὅτι καὶ αὐτοὺς εἰκὸς διαφέροντας περὶ παιδείαν γενέσθαι.

9 Λέξει δὲ χρηστέον ἀφελεῖ μᾶλλον ἐγγὺς Ξενο|φῶντός 242 τε καὶ Νικοστράτου βαίνοντα, ὀλιγαχοῦ δὲ ἐξαίροντα τὸν λόγον εἰς σεμνότητα, εἴ που τὰ ἐννοήματα ἀναγκάζοι.

## III

### Μέθοδος γενεθλιακῶν

Ἐχόμενος δέ σοι τούτου ὁ ἐπὶ ταῖς γενέσεσι τῶν παίδων λεγόμενος λόγος (γάμῳ γάρ που γένεσιν ἀνάγκη ἀκολουθεῖν)· ὃν καὶ αὐτὸν τελεῖν χρὴ τοῦτον τὸν τρόπον. ἐπεὶ γὰρ ἀρχὴ τῆς γενέσεως τῆς ἑκάστου ἡ ἡμέρα, ἐφ' ἧς ἐγένετο, ἀναγκαῖόν που ὀλίγα ἅττα καὶ περὶ τῆς ἡμέρας εἰπεῖν οἷον ἐγκωμιάζοντα τὸ προσόν, εἰ ἄρα ἴδιόν τι ἔχει παρὰ τὰς ἄλλας ἡμέρας ἐπισημαι|νόμενον· 243

1 ὅτι Sylburgius: καὶ P nisi tale quid fuit ⟨ὅτι ζεῦξις⟩ καὶ 2 οἵους] caue ὁμοίους conicias 4 εἴης P: corr l Schaeferus 7 αὐτῶν P 8 πρέπει a, uolgo: πρέποι P 9 καὶ ἐκ τούτου P καὶ ἐν τούτῳ l Schaeferus 14 δ' uolgo | ἐξαίροντες P: corr s 18 γενεθλικῶν P 23 ἅττα P

εἰ μὲν τῇ νουμηνίᾳ, ὅτι ἀρχὴ τοῦ μηνός, ἀρχὴ δὲ κράτιστον καὶ ἐξ ἀρχῆς τὰ πάντα· καὶ ὅτι ἥμισυ τοῦ παντὸς ἢ τὸ πᾶν κατὰ τὸν Πλάτωνα. εἰ δὲ ἑβδόμη ἢ ἕκτη, ὅτι ἱεραὶ τοῖν θεοῖν, καὶ ὅτι κοινωνία πρὸς τὸ κρεῖττον κατὰ τὸ τῆς γενέσεως. ἔχοις δ' ἂν καὶ περὶ τῆς ἐνάτης λέγειν, ὅτι ἱερὰ τοῦ Ἡλίου, καὶ ὅτι εἰκὸς ἐπίσημον τὸν τοιοῦτον γενέσθαι, τάχα δὲ καὶ εὐεργετικὸν κατὰ τὴν τοῦ Ἡλίου φύσιν. εἰ δὲ πεντεκαιδεκάτη εἴη, ὅτι καὶ αὐτὴ τῆς Ἀθηνᾶς, καὶ ὅτι τέλειος ἐν τούτῳ ὁ κύκλος, καὶ εἰκὸς ἀνενδεῆ τὴν τοιαύτην εἶναι γένεσιν τοῦ ἀνδρός. ὁμοίως δὲ καὶ εἰ ἄλλη τις ἡμέρα, ἢ τῇ ἀρχῇ ἢ τῷ τέλει προσβιβάζοντας καὶ τὸ προσὸν θεωροῦντας οὕτω πειρᾶσθαι τὸν ἔπαινον ποιεῖσθαι.

Ἐπὶ δὲ τῇ ἡμέρᾳ τὸν καιρὸν ἐπιθεωρεῖν ἀναγκαῖον, 2
ὁποῖός τις οὗτος· καὶ τοῦ καιροῦ τὸ μὲν κατὰ τὴν |
244 ὥραν, οἷον ⟨εἰ⟩ ἐν χειμῶνι ἢ ἐν ἦρι ἢ ἐν τοῖς ἑτέροις μέρεσι τοῦ ἔτους, ὥςπερ ἐν τοῖς περὶ τοῦ ἀγῶνος ἐπαίνοις ἐπεσημαινόμεθα τὰς ἰδιότητας τῶν καιρῶν, τῷ μὲν τὸ ἀνδρεῖον, τῷ δὲ τὸ φαιδρὸν ἀπονέμοντες, καὶ τῷ θέρει τὸ πεπληρῶσθαι τὴν γῆν ἐν τούτῳ τῶν ἀγαθῶν, καὶ τῷ λοιπῷ δὲ τὸ ἐν ἀνέσει καὶ ἀναπαύλῃ τῶν ἔργων γενέσθαι. ἐπισημαίνεσθαι δὲ καὶ τὰ συμβεβηκότα ἐνίοτε τοῖς καιροῖς· οἷον εἰ ἐν ἑορτῇ τις

3 Plato leg. VI p 753ᵉ ἀρχὴ γὰρ λέγεται μὲν ἥμισυ παντὸς ἐν ταῖς παροιμίαις ἔργον . . . ., τὸ δ' ἔστι . . . πλέον ἢ τὸ ἥμισυ cf rei p. II p 377ᵃ 19 supra p 6, 2—11

6 ἐνάτης sic P 7 τὸν] τοῦ s 11 δὲ καὶ [εἰ] cum litura P δὲ (δ' r) εἰ καὶ a 12 προσβιάζοντας ante Schottum edebatur 17 εἰ inseruit Schottus 20 ἀπονέμοντας ante Schottum uolgabatur

*γέγονεν, οἱονεὶ ἐν Διονυσίοις ἢ ἐν μυστηρίοις ἢ ἐν πανηγύρεσίν τισιν· ἅπαντα γὰρ ταῦτα ἀφορμὰς παρέξει σοι εἰς τὸν ἔπαινον.*

3 *Ἀπὸ δὲ τούτου ἰτέον καὶ ἐπὶ τοὺς τόπους, ἐν οἷς τις γέγονεν· πρῶτον μὲν ἀπὸ τοῦ περιέχοντος τὸ ἔθνος, Ἀσίαν, Εὐρώπην· καὶ τοῦτο αὖ πάλιν Ἑλληνικὸν ἢ βάρβαρον, ἢ σοφίαν ἢ ἀνδρείαν τοῦ ἔθνους ἤ τι τοιοῦτον ἐπισημαινόμενον. εἶτα ἐπὶ τὸ περιεχόμενον· τίς ἡ πό|λις καὶ ἡ μητρόπολις αὐτῶν· ἐχομένη ἡ πόλις* 245 *μητροπόλεως τῇ τιμῇ, μεγάλη, πολυάνθρωπος, εὔφορος πρὸς ἀνδρῶν ἀρετήν, ἢ ἄν τι ἕτερον ἀνδραγάθημα τῆς πόλεως. ἔπειτα τὰ μὲν περιεχόμενα ἐν τῇ πόλει· ποίας τινὸς οἰκίας, ὅτι οὐ φαύλης, ὅτι οὐκ ἀδόξου, γένους ⟨ὅτι⟩ ἐνδόξου, ποίων τινῶν προγόνων καὶ πατέρων, καὶ ἔπαινον ἐν βραχεῖ τούτων ἀπὸ τῶν προσόντων.*

4 *Μετὰ ταῦτα δὲ καὶ ἐπ' αὐτὸν ἤδη τὸν ἔπαινον ἰέναι τοῦ ἐγκωμιαζομένου καὶ οὗ ἡ γενέθλιος· ποίας τινὸς φύσεως κατὰ σῶμα, κατὰ ἰσχύν. εἰ μέγας ἐστί, κατὰ τὸν Αἴαντα· εἰ καλὸς καὶ ἀνδρεῖος, κατὰ τὸν Ἀχιλλέα. καὶ εἰ ⟨εὔγλωσσος ἢ⟩ εὔβουλος ἢ δίκαιος ἢ σώφρων εἴη, τὰ ἁρμόζοντα πρόσωπα, τὸν Νέστορα, τὸν Θεμιστοκλέα, τὸν Ἀριστείδην, τὸν Φωκίωνα. εἰ χρηστός, ὅτι θυμοειδὴς μετὰ τοῦ πράου, ὅτι ὀξὺς ἐν-*

1 *οἷον εἰ* P: *οἷον* a 2 *πανήγυρεσί///* P² 5 *γέγονε* uolgo | exspectes *ἐπὶ τὸ περιέχον* 6 *ἐυρώπην* P | *τούτου* P *ἐν τούτῳ* Schottus | *εἰ ἑλληνικὸν* G 10 *τῆι τιμῆι μεγάλη* P *τῇ τιμῇ τῇ μεγάλῃ* a, uolgo 13 *γένους ἐνδόξου* P audacius Hermannus *ὅτι οὐκ ἀδόξου γένους· ποίων τινῶν προγόνων καὶ πατέρων; ἐνδόξων* 17 *ἐγκωμια[ζ]ομένου* cum litura P 18 *σῶμα καὶ ψυχήν·* Schottus 20 *εὔγλωσσος ἢ* supplendum erat propter Nestoris exemplum 21 ⟨*κατὰ*⟩ *τὰ* Sauppius 22 *εἰ—23 ἐνθυμηθῆναι* post 17, 2 traiecit Schottus 23 *πράου ὅτι* P: *πράου καὶ ὅτι* inde ab a uolgabatur

θυμηθῆναι. κἂν εἰ μικρός, ὅτι μείζων τὴν τῆς ψυχῆς
246 ἀρετήν, κατὰ τὸν Τυδέα, κατὰ τὸν Κόνωνα. | οἷός τις 5
τὰ περὶ τὸν βίον, εἰ φιλόκαλος, εἰ μεγαλοπρεπής· οἷος πρὸς τοὺς ἰδιώτας, πρὸς τὴν πόλιν, καὶ τὰς φιλοτιμίας τὰς πρὸς τὴν πόλιν. κἂν εἰ ἐπιστήμης τινὸς ἐπήβολος εἴη, οἷον ἰατρικῆς ἢ ῥητορικῆς ἢ φιλοσοφίας, θετικῶς ἐπάγοντα τὸν ἐν τούτοις ἔπαινον, εἰς ὅσα τούτων ἕκαστον χρήσιμον· οὕτω γὰρ ἂν ἀμφιλαφὴς ὁ λόγος γένοιτο. ποῖος ἤδη γέγονεν, ποῖός ἐστιν ἐν τῷ παρόντι, καὶ ποῖον εἰκὸς ἔσεσθαι εἰς τὸν μέλλοντα χρόνον. ἐν τούτῳ δὲ γενόμενοι οὐκ ἄπο τρόπου ἂν ποιοῖμεν καὶ εὐχόμενοι τοῖς τε ἄλλοις καὶ τοῖς γενεθλίοις θεοῖς περὶ τοῦ μέλλοντος βίου καὶ τοῦ ἀμείνω τοῦ παρεληλυθότος γενέσθαι τοῦτον, καὶ πολλὰς περιόδους χρόνων τελέσαντα εἰς λιπαρὸν καὶ εὔδαιμον γῆρας παρελθεῖν.

## IV

247 *Μέθοδος ἐπιθαλαμίου*

Πρὸ δὲ τοῦ περὶ τῆς γενέσεως λόγου (μικροῦ γάρ με παρῆλθεν ὑπὸ τοῦ θορύβου καὶ τῆς ταραχῆς τῆς περὶ τὴν ἔξοδον) ὁ ἐπὶ τῷ θαλάμῳ λεγόμενος λόγος· ἐχόμενος δ' ὅ τι μάλιστα καὶ ἀκόλουθος ⟨ἂν⟩ εἴη τοῖς γαμικοῖς τῶν λόγων, σχεδὸν εἷς καὶ ὁ αὐτὸς ὢν τῷ

15 λιπαρὸν cf infra p 31, 5

1 κἂν εἰ P: κἂν ᾖ Ga cf u 5 3 μεγαλοπρεπής P: φιλοπρεπής edebatur 4 καὶ τὰς] κατὰ τὰς P 7 fort ἐπὶ τούτοις 9 γέγονε uolgabatur 10 καὶ ποῖος s 11 ἄπο sic P 15 εὐδαιμον|.. ex ἐυδαίμο|να P[2] 20 παρελήλυθεν sed in mg γρ παρῆλθεν P[1] 22 δ' ὅ τι] δέ τι P δέ τοι s | ἀκόλουθος εἴη P: ἂν suppleuit Schaeferus cf p 31, 21 23 γαμικοῖς Schottus: ἀμίκτοις P. cf p 19, 5. 18, 1

γαμικῷ, πλὴν τῷ χρόνῳ διαφέρων, ἐπὶ τετελεσμένοις τοῖς γάμοις λεγόμενος οὗτος· οὐ μὴν τοῖς γε ἄλλοις ἀπᾴδων τοῦ προειρημένου, καὶ ὥςπερ ἀντὶ ὑμεναίων ἐπᾳδόμενος τοῖς γάμοις. ἔστιν ἃ μὲν οὖν καὶ παρὰ Σαπφοῖ τῆς ἰδέας ταύτης παραδείγματα, ἐπιθαλάμιοι οὕτως | ἐπιγραφόμεναι ᾠδαί· ἀλλ' ἐπειδὴ οὐχ ἡ αὐτὴ 248
μεταχείρισις ποιήσεώς τε καὶ πεζοῦ λόγου, ἀλλ' ὥςπερ τοῖς μέτροις, οὑτωσὶ δὲ καὶ τοῖς ἐννοήμασι διενήνοχεν ταῦτα, τοῦτον ἄν μοι δοκεῖς τὸν τρόπον καὶ τοῦτον τὸν λόγον προσφόρως μεταχειρίσασθαι, εἰ ἐν μὲν τῷ προοιμίῳ εὐθὺς αὐτὸ τοῦτο ἐπισημαίνοιο, ὅτι οἱ μὲν ἄλλοι τὸν ὑμέναιον ᾄδουσιν, ἡμεῖς δὲ ἀντὶ τοῦ ὑμεναίου τὸν λόγον, οὐχ ὑπ' αὐλοῖς ἢ πηκτίσιν ἢ νὴ Δία καλλιφωνίᾳ τινὶ τοιαύτῃ, ἀλλὰ ἐπαίνοις καὶ ὕμνοις τῶν γεγαμηκότων.

2 Εἶτα ἐπὶ τούτοις ἐπάγειν, ὅτι ἀναγκαῖος ὁ γάμος ἀνθρώποις γε οὖσι· σωτηρία γὰρ τοῦ γένους· καὶ ὅσα ἀγαθὰ ἐκ τοῦ γάμου. εἶτα μεταβήσῃ ἐπὶ τὰ πρόσωπα τῶν συνιόντων εἰς τὸν γάμον, ὁποῖοί τινες οὗτοι· ἐν ᾧ | περὶ γένους ἐρεῖς αὐτῶν καὶ τροφῆς, καὶ περὶ 249
κάλλους σωμάτων καὶ ἡλικίας· ὅσα ἐκ τύχης αὐτοῖς πρόσεστι, καὶ περὶ ἐπιτηδευμάτων· ὅτι σπουδὴν ἔσχον

2 γ' uolgo 4 ἐστίν. ἃ μὲν P ἐστίν. ἣν μὲν G ἐστίν. εἰ μὲν a, uolgo ἔστι μὲν Schottus 5 ἐπιθαλάμιος P αἱ ἐπιθαλάμιοι Sylburgius 6 ἐπιγραφομέναις ὠιδαῖς P ἐπιγεγραμμέναις ταῖς ᾠδαῖς a: corr Sylburgius 7 μεταχείρησις P: corr Schaeferus | ποιῆσαι ὥστε καὶ P: corr Ga 8 δὲ om G | διενήνοχε edebatur 9 δοκεῖ P: corr Schottus 10 προσφόρως om G 11 εὐθὺς αὐτὸ om G 12 δ' uolgo 13 πηκτῖσιν P 14 ἀλλ' uolgabatur 16 et 18 ἔιτα P 17 γ' uolgabatur 18 ἀγαθὰ εἰς γάμον ante Schottum edebant 19 συνιόντων P: συνόντων ante Schottum uolgabatur | ἐνῶι P 20 καὶ ἀνατροφῆς G cf p 22, 9. 13. 27, 21 21 καὶ ὅσα ἐκ G 22 πρόσεστιν inde ab a edebant

περὶ τὸν γάμον καὶ τὴν σύζευξιν αὐτοί· ὅπως διάκεινται ἐπὶ τῷ γάμῳ οἱ οἰκεῖοι, οἱ ἀλλότριοι, ἡ πόλις αὐτὴ δημοσίᾳ· ὅτι πᾶσι διὰ σπουδῆς ὁ γάμος ἐστίν, καὶ ὁ γάμος ἔοικεν πανηγύρει τινὶ καὶ νεομηνίᾳ καὶ δημοτελεῖ ἑορτῇ τῆς πόλεως. ὥςπερ δὲ ἐν τοῖς γαμικοῖς ἠξιοῦμεν πρὸς τοῖς ἄλλοις ἐπισκοπεῖν, οἷον εἰ ἐκ τῆς αὐτῆς πατρίδος, εἰ ἐκ τοῦ αὐτοῦ γένους, οὑτωσὶ δὲ μηδὲ ἐν τούτῳ παρὰ φαῦλον ποιεῖσθαι τὸ μέρος τοῦ λόγου τοῦτο.

Ἐπὶ δὲ τοῖς ἐπαίνοις καὶ τοῖς ἐγκωμίοις καὶ προ- 3
τροπή τις ἔστω τοῖς γαμοῦσιν πρὸς τὸ σπουδάζειν περὶ ἀλλήλους καὶ ὁμονοεῖν ὅ τι μάλιστα· καὶ ὅσα ἀγαθὰ ἐκ τῆς τοιαύτης ὁμονοίας καὶ φιλίας ἀνάγκη συμβαίνειν, ἀπὸ τοῦ καθόλου ἐπὶ τὸ ἴδιον ἄγοντα τὸν λόγον· ὅτι ὁμόνοια πᾶσι μὲν ἀνθρώποις ἡγεῖται τῶν ἀγαθῶν, μάλιστα δὲ τοῖς γεγαμηκόσιν· καὶ εἰς τοῦτο καὶ τὸ
250 τοῦ | Ὁμήρου παραληπτέον ἐνδόξῳ κρίσει χρώμενον, ὅτι οὐδὲν μεῖζον ἀγαθὸν

ἢ ὅτε ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
ἀνὴρ ἠδὲ γυνή·

τίνα μὲν ἐκ τούτου τοῖς ἐχθροῖς ἀνιαρά, τίνα δὲ ἡδέα τοῖς φίλοις. ἐπὶ τέλει δὲ καὶ εὐχῇ χρῆσθαι, ὅπως ὅ τι τάχιστα παῖδες γένοιντο, ὡς καὶ τούτων ἐπιδεῖν γάμους καὶ ᾆσαι τὸν ὑμέναιον καὶ ὑπόθεσιν ἔχειν αὖθις τοιούτων λόγων.

5 supra p 13, 16—21    16—21 Homerus ζ 182—185

1 αὐτοί] αὐτήν P αὐτῶν Schottus  2 ἐπὶ om G  3 δημοσία P | ἔστιν P ἐστί s  4 ἔοικε a  5 δ' uolgabatur  6 οἷον deleuit Schottus  7 μὴ δὲ P μηδ' uolgo  8 παρὰ: cf adn. Epic. p 306, 25 | τούτου P: corr Schottus  10 γαμοῦσι et 15 γεγαμηκόσι a, uolgo  16 κρίσει P: χρήσει Ga. cf Spengelius ad Anaxim. (1422ª 26) p 111 sq ad Arist. rhet. p 312  18 ὅτε P ὅτι a ὅθ' s  21 εὐχὴ P

## V

### *Μέθοδος προσφωνηματικῶν*

Ἰσοκράτης μὲν ὁ σὸς ἑταῖρος καὶ ἐμός, ὦ Ἐχέκρατες, εἴ περ ἄλλό τι, φησὶ χρῆναι προσεῖναι τοῖς σπουδαίοις | ἀνθρώποις [ἐν τῇ παραινέσει τῇ πρὸς τὸν 251 Ἱππονίκου] καὶ τὴν φιλοπροσηγορίαν· ὅ πέρ ἐστι τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, ὡς αὐτός φησιν. εἰ δὲ καὶ ἰδίᾳ χρῆν πρὸς ἕκαστον τοῦτο ποιεῖν, ὅπως καὶ τοὺς ἰδιώτας ὡς ὅ τι μάλιστα οἰκειοτέρως καὶ εὐμενεστέρως ἔχειν τρὸς ἡμᾶς παρασκευάζωμεν ἐκ τῆς τοιαύτης φιλοπροσηγορίας, πολλῷ δή που ἀναγκαιότερον τὸ πρᾶγμα καὶ ὁ τοιοῦτος τρόπος τῆς προσφωνήσεως, εἰ πρὸς τοὺς ἐν τέλει καὶ ἐν ἀρχαῖς γεγονότας ὑφ' ἡμῶν γίγνοιτο καὶ μάλιστά γε δὴ τοὺς ἑκάστοτε ἐκ βασιλέων εἰς τὰ ἔθνη καὶ τὰς πόλεις | τὰς ἡμετέρας 252 παραγιγνομένους, ὅπως καὶ αὐτοὺς διὰ τοιούτου τρόπου καὶ πρὸς ἡμᾶς καὶ πρὸς τὰς αὑτῶν πατρίδας οἰκειοτέρως διακεῖσθαι παρασκευάσαιμεν. ἀμέλει γέ τοι καὶ τὸ πρᾶγμα ἤδη ἐπιχωριάζει ἐπὶ πᾶσι, καὶ καθάπερ τις οὗτος νόμος καὶ θεσμὸς διελήλυθεν διὰ πάντων, ὡς εὐθὺς ἅμα τε τῇ πρώτῃ τῶν πυλῶν, ὡς ἂν εἴποι

3 Isocrates or I 20

4 *εἴ περ* ex *ὥσπερ* P2 5 *ἐν τῇ*—6 *Ἱππονίκου* ante 4 *εἴ περ* traici iubet Schottus, glossema esse intellexit Nissenus 6 *ἱππόνικον* P: corr Muretus 7 *αὐτός* P: *ὁ αὐτός* G 8 *χρὴ* ci Nissenus 9 *οἰκειοτάτως καὶ ἐρρωμενεστάτως* Sauppius 10 *παρασκευάζωμεν* P: *παρασκευάζομεν* G uolg. exspectes *παρεσκευάζομεν* 13 *ἀφ'* P 14 *γίνοιτο, μάλιστα* h 16 *παραγινομένους* a 17 *αὐτῶν* P: corr Schottus | *οἰκει[ο]τέρως* cum ras P 20 *οὗτος* P: *οὗτος ὁ* a. fort traicienda uerba: *νόμος οὗτος* | *διελήλυθε* a 21 *ὡς εὐθὺς* arcte iunguntur

τις, εἰσόδῳ προσφωνεῖν τούτους δημοσίᾳ τὰς πόλεις ὑφ' ἑνὸς ὅτου οὖν τῶν ἀρίστων κατὰ τὴν παιδείαν ὥςπερ δημοσίᾳ τινὶ φωνῇ καὶ κοινῷ προσαγορεύματι προσαγορεύοντος. φέρε οὖν εἴπωμέν τι καὶ περὶ τούτων τῶν λόγων, ὅπως ἂν καὶ τούτους ἄριστα καὶ ῥᾷστα μεταχειριζοίμεθα.

Καθόλου μὲν ὁ τρόπος αὐτῶν τοιοῦτος, ὡς σύστα- 2
σίν τινα ἔχειν τῆς αὐτῶν πατρίδος πρὸς τοὺς ἄρχειν μέλλοντας. δεῖ δὲ οὐκ αὐτὸ τοῦτο μόνον πραγματεύεσθαι ἐν τῷ λόγῳ, ἀλλὰ μηδὲ ἑαυτῶν ἐν τῷ τοιῷδε ὀλιγώρως ἔχειν. ἀρχὴ οὖν ἐμοὶ δοκεῖ ἀναγκαιοτάτη ἂν αὕτη γενέσθαι περὶ αὐτοῦ τε εἰπεῖν καὶ τῆς ἑαυ-
253 τοῦ | προαιρέσεως καὶ δι' ὅ τι προκεχείρισται ἐκ πάντων ἐπὶ τὸν λόγον, καὶ ὅτι ἀναγκαία αὐτῷ ἡ ὑπόθεσις τοῦ λόγου. ἐχέτω δὲ ἐν τούτῳ καὶ θεραπείαν τινὰ τοῦ ἄρχοντος, ὡς ἀποδεχομένου τοὺς τοιούτους ἅπαντας καὶ οἷον αὐτοῦ χεῖρα ὀρέγοντος, δι' ὅπερ καὶ ἑτοιμότερον ὑπήκουσεν· καὶ ὅτι ἦν μὲν καὶ ἀκούειν τοῦτο εὐθὺς περὶ αὐτοῦ, πολὺ δὲ ἔτι ἐναργέστερον τῇ ὄψει αὐτῇ πέφηνεν, ἀτεχνῶς οἷον ἐκ τοῦ προσώπου καὶ τῆς φαιδρότητος ὥςπερ ἐν κατόπτρῳ τοῦ ἤθους καὶ τῆς πρὸς ταῦτα δεξιότητος φανερῶν γιγνομένων. οὕτω δὲ προκαταστησάμενον τὸν λόγον ἑξῆς ἰτέον ἐπὶ τὸ ἐγκώμιον τοῦ βασιλέως, ἐν βραχεῖ τοῦτο ποιησάμενον καὶ αὐτὸ τοῦτο ἐπισημηνάμενον, ὅτι οὐδ' ἂν ὁ

4 *προσαγορεύοντες·* P: corr Gs. fuit qui *προσαγορεύοντας* coniceret  7 *ὡς*] *οἷος* ci Nissenus cf 23, 17  8 *αὐτῶν*] exspectes *ἑκάστων*  9 *δ'* uolgabatur  10 *ἐν* om G | *ἑαυτῶν* P: *αὐτῶν* a  12 *αὐτὴ* P: corr Sylburgius | *αὐτοῦ τε* P: corr Sylburgius  13 *διότι* P fortasse recte  18 *ὑπήκουσε* uolgo  19 *ἐνεργέστερον* P: corr Stephanus  21 *ἤθους* P: *ἔθους* a  22 *γινομένων* s  24 *βασίλεως* P  25 *καὶ—ἐπισημ.* P: om a, restituit Schottus | *οὐδ' ἂν*] *οὐδὲ* P

σύμπας χρόνος ἐξαρκέσαι πρὸς τοῦτο, καὶ ὅτι ἑτέρου καιροῦ, οὐ τοῦ παρόντος. κατακλείσεις δὲ τὸ ἐγκώμιον εἰς τοῦτο, ὅτι ἕν τι τῶν καλῶν τῶν βασιλέως καὶ τοῦτο, τὸ τοιοῦτον ἄνδρα ἐπιλεξάμενον καταπέμψαι ἐπὶ τὸ αὐτοῦ ἔθνος οὐ πόρρω βαίνοντα τῆς αὐτοῦ προαιρέσεως. |

3 Καὶ ἐντεῦθεν ἀρχέσθω σοι τὸ ἐγκώμιον τοῦ ἡγου- 254
μένου. χρηστέον δὲ καὶ ἐνταῦθα τοῖς ἐγκωμιαστικοῖς τόποις, ἀπὸ γένους, ἀπὸ φύσεως, ἀπὸ ἀνατροφῆς· εἰ μὲν φανερὰ εἴη, καθ' ἕκαστον ἀκριβῶς διεξιόντα· εἰ δὲ ἄδηλα, κατὰ τὸ πιθανὸν προάγοντα, ὅτι ἀνάγκη τὸν τηλικούτων καὶ τοιούτων κατηξιωμένον οὔτε γένει οὔτε φύσει οὔτε ἀνατροφῇ λείπεσθαί τινων, ἀλλὰ διὰ ταῦτα προκεκρίσθαι· τά γε μὴν φανερὰ ἀκριβέστερον ἐπισημαινόμενον, οἷον <εἰ> ἐν νέᾳ ἡλικίᾳ τοιοῦτος, τί χρὴ προσδοκᾶν εἰς τὸν μέλλοντα χρόνον; καὶ ὅτι νέος μὲν τὴν ἡλικίαν, πρεσβύτερος δὲ τὴν φρόνησιν. εἰ δὲ πρεσβύτης, ὅτι ἐν πολλοῖς δοὺς πεῖραν ἑαυτοῦ τῆς ἀρετῆς, εἰκότως καὶ τὴν ἀρχὴν ταύτην ἐπιστεύθη· καὶ ὅτι καὶ τοῦτο τῆς εὐμοιρίας τῆς περὶ αὐτὸν τὸ ἐν τῷ γήρᾳ ἀκμάζειν. εἰ δὲ δὴ καὶ σεμνότης τις προσείη τῷ προσώπῳ, μηδὲ τοῦτο παρέργως παρατρέχειν. εἰ φιλόλογος εἴη, ἐγκώμιον παιδείας, καὶ ὅτι οἱ πεπαιδευμένοι μάλιστα ἄξιοι ἀρχῆς καὶ τοιαύτης ἡγεμονίας. καὶ εἴτε τὴν Ῥωμαϊκὴν διάλεκτον εἴη | πεπαιδευμένος, τοῖς 255

1 ἐξαρκέσει ci Sylburgius 2 κατακλείσας P: corr Schottus 5 αὐτοῦ P αὐτὸ a | αὐτοῦ P ἑαυτοῦ Schottus ex cod. Cantabrigiensi 8 χρήσηι P: corr Schottus 9 τόποις corr Nissenus cf p 13, 12. 26, 17: λόγοισ P 10 καθέκαστον P 12 τῶν τηλικούτων Pa τὸν τηλικοῦτον G | οὐ γένει P: corr Sauppius 13—14 fort δι' αὐτὰ ταῦτα 15 εἰ ante ἐν inserui 22 τούτωι P: corr Ga | φιλόλογος P: φιλολόγος scribebant 24 εἴ γε Pa 25 πεπαιδεύμενος P

*ἀρίστοις τῶν Ῥωμαίων παραβάλλειν· εἴτε τὴν Ἑλληνικήν, τοῖς τῶν Ἑλλήνων· διὰ τοῦτο δὲ καὶ δίκαιος καὶ σώφρων καὶ περὶ τὰς δίκας ἀκριβής. παραδείγμασι δὲ καὶ ἐπὶ τούτῳ χρηστέον προσώποις, τῷ Ἀριστείδῃ, τῷ Θεμιστοκλεῖ, ἐφαρμόζοντα καὶ παραβάλλοντα καὶ τούτων ἀμείνω ἀποφαίνοντα.*

4 *Ἐὰν δὲ ἔχωμεν καὶ πράξεις τινὰς αὐτοῦ προγεγενημένας καὶ ἀρχὰς προηνυσμένας λέγειν ἢ ἐν στρατείαις ἢ ἐν διοικήσεσιν, καὶ ταύτας παρατιθέναι. ἐὰν δὲ καί ⟨τινας⟩ τιμὰς ἔχωμεν αὐτῷ ⟨τῶν⟩ πατέρων γενομένας λέγειν, καὶ τούτων χρὴ μνημονεύειν. καὶ ἐντεῦθεν προτροπὴ καὶ παράκλησις πρὸς εὔνοιαν τῆς πόλεως, ἐπισημηνάμενον, ὅτι χρηστὴν ἐλπίδα περὶ τούτου ἔχουσι. φανερὸν γάρ τοι ἀπὸ τοῦ οὕτως ἀποδέξασθαι τὴν πόλιν, ἀπὸ τοῦ φιλανθρώπως καὶ εὐπροσ-*
256 *ηγόρως ἅπασι προσενε|χθῆναι καὶ ὁμιλῆσαι· ⟨καὶ⟩ ὅτι εἰκότως τοῦτο ἐποίησεν· τοιαύτη γὰρ ἡ πόλις οἵα ἀμείβεσθαι τοὺς εὖ χρησαμένους ἑαυτῇ.*

5 *Καὶ ἐντεῦθεν ὁ ἔπαινος ὁ περὶ τῆς πόλεως, ἐὰν θέλῃς· περὶ γένους αὐτῆς, περὶ δυνάμεως τῆς ἐν ταῖς προσόδοις, περὶ παιδείας τῶν ἐνοικούντων, περὶ χώρας τῆς ὑποτελοῦς, ἀφ' ἧς ἡ πρόσοδος· εἰ μὲν πολλὴ εἴη, εἰς ἰσχὺν τῆς πόλεως ἀναφέροντα· εἰ δὲ ὀλίγη, ὅτι ἀρκεῖται καὶ ταύτῃ. ἔτι οὗπερ ἂν ᾖ κτίστου, ἀναγκαῖον εἰπεῖν, ἐάν τε θεὸς ἐάν τε ἥρως ᾖ, εἴτ' οὖν τῶν*

1 *ρωμαϊκῶν* P: corr a 4 *χρηστέον. προσώποις τῶι* sic distinguit P 8 *προηνυσμένας* P: *προηγουμένας* ante Schottum edebatur 9 *διοικήσεσι* uolgo 10 *τινὰς* suppleuit Nissenus cf u 7 et p 24, 6 | *αὐτῶι* P: corr Sauppius *αὐτοῦ* Schottus 16 *καὶ* ante *ὅτι* inserui 19 *ἐὰν*] *ἐν ᾧ* Schottus 20 *θέλῃς*] *λέγῃις* P | *ἐν τοῖσ* P: corr Gs. nisi articuli forma hiatum indicat 24 *ἔτι—κτίστου*] *ὅ που περ αν οι κιστου* P *ὅπου περ ἂν οἰκιστὴν* Ga 25 *ᾖ*] *εἴη* P

ἀρχαίων τις εἴτ' οὖν τῶν ἔναγχος γεγενημένων βασιλέων. οἷον κἂν μύθους τινὰς ἔχωμεν προσόντας τῇ πόλει, μηδὲ τούτους παραλιπεῖν. μετὰ ταῦτα περὶ μεγέθους τῆς πόλεως, περὶ κάλλους, περὶ θέσεως, εἴτε ἠπειρωτικὴ εἴη, εἴτε ἐπιθαλαττίδιος ἢ νησιῶτις. κἂν εἴ τινας τιμὰς ἔχοιμεν παρὰ βασιλέων, μηδὲ ταύτας παραλιπεῖν, κἂν εἰ πράξεις τινὰς προγεγενημένας ἢ παλαιὰς ἢ νέας, ἢ εἰ | τιμὰς προϋπαρξάσας παρ' ἡμῶν 257
πρὸς τοὺς ἄρχοντας τοὺς προγεγενημένους.

6 Ἐν ἅπασι δὲ τούτοις μεμίχθω ἡ προτροπὴ καὶ παράκλησις πρὸς εὔνοιαν τῆς πόλεως· δεῖν γὰρ τοὺς ἀγαθοὺς ἄρχοντας ταῖς τοιαύταις πόλεσιν τὰς παρ' ἑαυτῶν εὐνοίας προσνέμειν. ἐπὶ δὲ τῷ τέλει εὐχῇ χρησόμεθα ὑπὲρ τοῦ βασιλέως καὶ ὑπὲρ αὐτοῦ τοῦ ἄρχοντος. καὶ ὑπὲρ ἡμῶν δὲ αὐτῶν πάλιν μνησθησόμεθα, εἰ μὲν τῶν ἀρχομένων εἴημεν, ὅτι ἀπὸ τοῦ τοιούτου ἡμεῖς τιμῆς καὶ δόξης τευξόμεθα· εἰ δὲ τῶν ἤδη προευδοκιμηκότων καὶ προειρηκότων, ἀνεπαχθῶς περὶ αὐτῶν εἰπόντες εἰς τοῦτο καταλύσομεν τὸν λόγον, ὡς ἐλπίδος τι καὶ αὐτοὶ ἔχοντες τὸ μὴ φυλαχθήσεσθαι μόνον ἐπὶ τούτων τὴν δόξαν ἑαυτοῖς, ἀλλὰ καὶ πολλῷ ἀμείνω πρὸς τὸ λοιπὸν ἔσεσθαι.

7 Ἀπαγγελία δὲ πρέποι ἂν μάλιστα μεμιγμένη τῷ τοιούτῳ λόγῳ, ἐνιαχοῦ μὲν συνεστραμμένη, ἐνιαχοῦ δὲ διηρμένη, ἐν τοῖς μύθοις ἀφελεστέρα. τὸ δὲ σαφὲς

2 οἷον κἂν P οἷον καὶ a: ἐὰν G εἰ οὖν καὶ s. οἷον suspectum, fort ὅπου | ἔχωμεν P: uolgatum ἔχοιμεν Sylburgio debetur 5 νησιώτ[ισ] cum ras P | κἂν P: καὶ Ga 6 περὶ βασιλέων P: corr Wolfius 12 πόλεσι uolgo 13 εὐχὴ P 14 βασίλεως P[1] 15 ὑπὲρ del Schottus 16 ἀπὸ τοιούτου Ga 19 αὐτῶν P | εἰς τοῦτο — 20 ἔχοντες ex PG restitui 20 τὸ] immo τοῦ 25 διηιρημένη P | ἐν τοῖς P: τῆς ἐν τοῖς s. fort ἔν τε

τῆς ἑρμηνείας δι' ὅλου τοῦ λόγου μάλιστα ἐν σπουδῇ
258 ἔστω | τῷ λέγοντι.

Καθόλου ὁ περὶ τῶν πανηγυρικῶν λόγος ὧδέ πως περαίνοιτο ἄν.

## VI

## Μέθοδος ἐπιταφίων. $\overline{\beta}$

Οὐ μὲν δὴ οὐδὲ τούτων ἀπείρως ἔχειν τόν γε δὴ ὁδῷ τινι καὶ ἐπιστήμῃ μετιόντα λόγους χρή. ἀπευκτὰ μὲν γὰρ τὰ τοιαῦτα, ἀναγκαῖα δὲ ἀνθρώποις γε οὖσι καὶ παρελθοῦσιν εἰς τὸν ἀνθρώπινον βίον. ἀνθρώπῳ γὰρ γενομένῳ κατὰ τὸν τοῦ Καλλαίσχρου τὸν τῶν τριάκοντα βέβαιον μὲν οὐδέν, μὴ ὅτι κατθανεῖν, γενομένῳ καὶ ζῶντι εἰ μὴ οἷόν τε ἐκτὸς ἄτης βαίνειν. ἐπειδὴ τοίνυν ἀμφὶ ταφὴν δύο λόγοι μεμηχάνηνται, ὁ μὲν κοινὸς πρὸς πόλιν ἅπασαν καὶ δῆμον λεγόμενος
259 τοῖς ἐν πο|λέμῳ πεσοῦσιν, ἰδίᾳ δὲ καὶ καθ' ἕκαστον
ἅτερος αὐτοῖν, οἷα δὴ τὰ πολλὰ ἐν εἰρήνῃ συμπίπτειν ἀνάγκη, ἐν διαφόροις ἡλικίαις ἑκάστῳ τῆς τελευτῆς

10 Critiae fragmentum, opinor tragicum, uel Bachio neglectum

6 $\overline{B}$: P *λόγος δεύτερος* G. numerus initium libri alterius indicat, prioris uerba *Καθόλου — ἄν* clausula sunt 7 *οὐ μὴν* Pa | *ἀπείρους* uitium ed Reiskianae 9 *τα . . . τοιαῦτα* tribus litteris erasis P 11 *τὸν τῶν* Schottus: *τοῦ τῶν* P 12 *μὴ ὅτι καὶ τὸ θανεῖν* Pa: *ὅτι μὴ τὸ θανεῖν καὶ* Sylburgius. latent uersus quales *βέβαιον οὐδέν ⟨ἐστιν⟩ εἰ μὴ κατθανεῖν | θνητῷ γεγῶτι, ζῶντι δ' οὐκ ἄτης ἄτερ | οἷόν τε βαίνειν* 13 *ἐκτὸς αὐτῆς* P: corr Wolfius 14 *ἐπειδὴ*: apodosin perihodi stipatae exspecta infra p 26, 14 | *ἀμφὶ ταφὴν*] *ἀμφοῖν* P *ἐπιτάφιοι* Schottus 15 *λεγόμενος*] *ὁ μὲν* Pa *ὁ δὲ* G *ὁ ἐπὶ* Sylburgius 16 *καθέκαστον* P 17 *ἅτερος*] *πρὸς* P *ὁ ἕτερος* egregie Sylburgius

συμπεσούσης· ὄνομά γε μὴν ἀμφοῖν ἓν καὶ τὸ αὐτό, ἐπιτάφιος οὕτως ὀνομαζόμενος· παραδείγματα δὲ αὐτῶν ἔστί που καὶ παρὰ τοῖς ἀρχαίοις, τοῦ μὲν κοινοῦ καὶ πολιτικοῦ παρά γε τῷ τοῦ Ὀλόρου καὶ παρὰ τῷ τοῦ Ἀρίστωνος, Λυσίας τε καὶ Ὑπερείδης καὶ ὁ Παιανιεὺς καὶ ὁ τοῦ Ἰσοκράτους ἑταῖρος Ναυκράτης πολλὰς ἡμῖν τοιαύτας ἰδέας παρέσχοντο. οὐκ ἀπορήσομεν δὲ οὐδὲ τῶν πρὸς ἕκαστον· ἐπεί τοι καὶ τὰ ποιήματα μεστὰ τούτων, οἱ ἐπικήδειοι οὕτως ὀνομαζόμενοι θρῆνοί τε· ὡς αὔτως πλοῦτος πολὺς τῶν καταλογάδην ἐστὶ τοιούτων λόγων ἔν τε τοῖς πάλαι καὶ τοῖς ὀλίγον τι πρὸ ἡμῶν γενομένοις· ⟨οὐ⟩ λήξομεν δὲ οὐδὲ νῦν, ἔστ' ἂν γένος | ἀνθρώπων καὶ τὸ χρεὼν ἐπικρατοῦν ᾖ. 260
μέτιμεν οὖν αὐτοῖν ἑκάτερον τὸν τρόπον τοῦτον.

2 Συνελόντι μὲν οὖν ὁ ἐπιτάφιος ἔπαινός ἐστι τῶν κατοιχομένων. εἰ δὲ τοῦτο, δῆλόν που, ὡς καὶ ἀπὸ τῶν αὐτῶν τόπων ληπτέον, ἀφ' ὧν περ καὶ τὰ ἐγκώμια· πατρίδος, γένους, φύσεως, ἀγωγῆς, πράξεως. ἄχρι μὲν οὖν τινὸς τὴν αὐτὴν ἰτέον, οἷον περὶ πατρίδος λέγοντα, ὅτι μεγάλη καὶ ἔνδοξος καὶ ἀρχαία, καὶ εἰ τύχοι αὐτὴ πρώτη παρελθοῦσα εἰς ἀνθρώπους, οἷα καὶ Πλάτων περὶ τῆς Ἀττικῆς διέξεισιν· εἰ δὲ μικρά, ὅτι διὰ τούτους ἤδη καὶ τὴν ἀρετὴν τὴν τούτων καὶ δόξαν ἔνδοξος καὶ αὐτὴ ἐγένετο, οἷον ἡ Σαλαμὶς διὰ τὸν Αἴαντα ἢ τὴν ἀρετὴν τῶν ναυμαχησάντων, καὶ ἡ Αἴγινα

22 Plato Menexeni p $237^{d}$—$238^{b}$

2 δὲ P: om Ga  3 ἐστί P ἔστι G  4 τοῦ λόγου ed ante Sylb  5 ὑπερίδης s  6 σοκράτους a  8 ἐπεί ex ἐπί corr P[2]  9 μετὰ G | θρῆνοι τε ὡσ αὔτωσ οὕτωσ. πολύστε καταλογάδην P  12 ⟨οὐ⟩ suppleuit Nissenus cf u 7  14 μετίοιμεν Pa μετίωμεν Sylburgius  15 οὖν ὁ P: οὖν a

*διὰ τὸν Αἰακόν. ἢ εἴ τι βέλτιον περὶ αὐτῆς ἔχοιμεν λέγειν εἰρημένον, ὥςπερ ‛θείαν’ τὴν Σαλαμῖνα εἶπεν ὁ Πύθιος· ὅτι ἐκ θεοῦ ἐκτίσθη, ὥσπερ Ἰωνία, Βυ-*
261 *ζάντιον ἢ εἰ δή τις ἑτέρα πόλις |. καὶ ἐπὶ μὲν τῶν ἐν πολέμοις πεσόντων κἂν ἐπιδαψιλεύσαιτό τις ἐν τούτοις. ἐπὶ δὲ τῶν καθ’ ἕκαστον οὐ πάνυ τι ἀναγκαῖος ὁ πολὺς περὶ τῆς πατρίδος λόγος· ἰτέον οὖν ἐπὶ τοὺς προγόνους, εἰ οἱ πρόγονοι μὴ ἐπήλυδες, ἀλλ’ αὐτόχθονες· καὶ εἰ ἐπήλυδες, ἀλλὰ κρίσει τὴν ἀρίστην γῆν λαβόντες, οὐ τύχῃ· καὶ ὅτι ἢ ἐκ τοῦ Δωρικοῦ γένους, ὅ περ ἀνδρειότατον· ἢ ἐκ τοῦ Ἰωνικοῦ, ὅ περ σοφώτατον, καὶ ὅτι Ἕλληνες. εἰ δὲ ἐπὶ τινὸς εὐκλείας λόγος γίγνοιτο, ὅτι πατρὸς ἀγαθοῦ καὶ προγόνων, καὶ ἐν βραχεῖ περὶ αὐτῶν εἰπεῖν τὸν ἔπαινον, ὁποῖοι δημοσίᾳ, ὁποῖοι ἰδίᾳ, ὁποῖοι ἐν λόγοις, ὁποῖοι ἐν βίῳ, καὶ εἴ τι ἐν ἔργοις ἢ ἐν πράξεσιν· ἢ εἴ τινα τοιαῦτα ἡ ποιότης τοῦ προσώπου παρέχοι ἐκ τῆς φύσεως, ὅτι εὐφυὴς εἰς πάντα, κοινὸς δὲ ὁ τοιοῦτος.*

*Ἐν δὲ τῇ ἀγωγῇ γενόμενοι ἐπὶ μὲν τῶν κοινῶν* | 3
262 *τὴν πολιτείαν ληψόμεθα, ὅτι ἢ δημοκρατία, ἢ ἀριστοκρατία· ἐν δὲ τοῖς ἰδίοις τὴν ἀνατροφὴν καὶ τὴν παιδείαν καὶ τὰ ἐπιτηδεύματα. ἐν δὲ ταῖς [κοιναῖς] πράξεσιν ὁ μὲν κοινὸς ἕξει τὰ κατὰ πολέμους ἔργα καὶ*

2 oraculum Herodoti VII 142

1 ἢ] fort *καὶ* | *εἴ τι* P: *ἔτι* a  2 *εὑρημένον* P: corr Sauppius  3 *βυζαντίον* P  4 *καὶ—τῶν*] *ῆι. ὅτι μὲν τῶν* P *ῆ. ἐπὶ μὲν οὖν τῶν* Ga  5 *κὰν* P  6 *καθέκαστον* P  13 *γίνοιτο* Ga | in mg *σημ(είωσαι)* P  16 *ἢ εἴ* P: *ἤ* a. fort *καὶ εἴ* | *ἡ* P: *ἢ* Ga  18 *ὁ τόπος οὗτος* Sauppius  20 *ἡ—ἡ* Pa *ἡ—ἢ* s: corr Schottus  22 *κοιναῖς* deleuit Schottus. cf p 26, 18

ὅπως ἐτελεύτησαν, ὥς περ ἀμέλει καὶ Πλάτωνί γε καὶ Θουκυδίδῃ καὶ τοῖς ἄλλοις εἴρηται. ὁπόταν δὲ περὶ ἑνός τινος λέγωμεν, περὶ τῆς ἀρετῆς ποιησόμεθα τὸν λόγον, οἷον περὶ ἀνδρείας, περὶ δικαιοσύνης, περὶ σοφίας· ὁποῖος περὶ τὴν πόλιν ἐν τούτοις, ὁποῖος ἰδίᾳ περὶ ἕκαστα· ὁποῖος περὶ φίλους, ὁποῖος περὶ ἐχθρούς· καὶ ἔτι προστεθήτω, οἷος περὶ γονέας, οἷος ἐν ἀρχαῖς, ἔτι τίνας ἦρξεν.

4 Μετὰ ταῦτα δὲ ἐν μὲν τοῖς κοινοῖς ἐπὶ τὸ προτρεπτικὸν μεταβησόμεθα, προτρέποντες ἐπὶ τὰ ὅμοια τοὺς ὑπολειπομένους. καὶ πολὺς ὁ τόπος οὗτος. εἶτα οὕτως ἐπὶ τὸ παραμυθητικὸν τῶν πατέρων, ὅσοι τε ἔτι | παιδοποιεῖσθαι ἱκανοί, ὅσοι τε ἔξω τῆς ὥρας 263
ταύτης· καὶ εἴρηται ταῦτα καὶ παρὰ τῷ Θουκυδίδῃ. ἐν δὲ τοῖς ἰδίοις τὸ μὲν προτρεπτικὸν ἐνίοτε μὲν οὐδὲ ὅλως παραλαμβάνομεν διὰ τὸ τάχα ἂν εἰ τύχοι παῖδας εἶναι τοὺς κατοιχομένους· ἐνίοτε δὲ ἐπὶ βραχύ, πλὴν ἐπὶ τοῖς πάνυ ἐνδόξοις. ἐνταῦθα γὰρ οὐδὲν κωλύει καὶ ἐπὶ πλεῖον χρῆσθαι τῷ εἴδει, οἷον ⟨εἰ⟩ ἐπὶ ἄρχοντός τινος καὶ τοιούτου προσώπου ὁ ἐπιτάφιος γίνοιτο, ἀναγκαῖον παρακελεύεσθαι μιμεῖσθαι [τοῖς παισὶν] τοὺς ἑαυτῶν τοκέας, καὶ ἐπὶ τὰ ὅμοια σπεύ-

1 Plato Menexeni p 244$^{d}$—246$^{a}$ 2 Thucydides II 42 14 Thucydides II 44

1 *καὶ ὁ πλάτων γε καὶ ὁ θουκυδίδης* P: corr Sauppius 3 *λέγομεν* P: corr Gs 5 *ἐν τούτοις* ad utrumque membrum attinet. post *σοφίας* traiecit Schottus 6 *ἕκαστον* ci Sylburgius 7 *προστεθήτω* P: *προστεθείτω* a *προστεθείσθω* Sylburgius 8 *ἔπι* $P^1$ *ἐπεὶ* $P^2$ *εἴ γε* Wolfius | *τινα* P 18 *κωλύοι* P: corr Sylburgius 19 *οἷον ἐπὶ* P: corr Sylburgius 20 *ὁ ἐπιτάφιος* P: *ὁ* om a 21 *τοῖς παισὶ* ante *μιμεῖσθαι* traiecit Sylburgius, glossema sede arguitur

δειν. ἀναγκαιότερος δὲ ὁ παραμυθητικὸς παραμυθουμένων ἡμῶν τοὺς προσήκοντας. δεῖ δὲ εἰδέναι καὶ τὴν μέθοδον τοῦ παραμυθητικοῦ· οὐ γὰρ θρηνεῖν οὐδὲ ἀπολοφύρεσθαι τοὺς ἀποθανόντας· οὐ γὰρ ἂν παραμυθοίμεθα τοὺς ὑπολειπομένους, ἀλλὰ μεῖζον τὸ πένθος παρασκευάζοιμεν· καὶ οὐ δόξει εἶναι τῶν κατοιχομένων ἔπαινος, ἀλλὰ ὀλοφυρμὸς ὡς τὰ δεινότατα παθόντων.
264 πειρᾶσθαι δὲ ἐν τῷ παραμυθεῖσθαι καὶ | ἐνδιδόναι τοῦ πάθους τοῖς ὑπολειπομένοις, καὶ μὴ ἀντιτείνειν εὐθύς· ῥᾷον γὰρ ἐπαξόμεθα· ἅμα δὲ καὶ ἔπαινον ἕξει ὁ λόγος, εἰ λέγοιμεν, ὅτι οὐ ῥᾴδιον ἐπὶ τοῖς τοιούτοις ῥᾷον φέρειν. ἐπειδὴ δὲ οἱ ἐν πολέμῳ τελευτήσαντες ὅμοιοι ταῖς ἡλικίαις, οὐδὲν ἀπὸ τούτων ἕξομεν εἰς παραμυθίαν ἐπιχειρεῖν, πλὴν ὅτι ἐνδόξως ἀπέθανον ὑπὲρ τῆς πατρίδος· κἄθ' οὕτως καὶ ὅτι ταχὺς καὶ ἀναίσθητος ὁ τοιοῦτος θάνατος, καὶ ἐκτὸς βασάνων καὶ τῶν κακῶν τῶν ἐκ τῆς νόσου· ὅτι δημοσίας ταφῆς ἔλαχον· ζηλωτὸν δὲ τοῦτο καὶ τοῖς μετὰ ταῦτα· καὶ ἀθάνατος αὐτῶν ἡ δόξα.

Ἐπὶ δὲ τοῖς καθ' ἕκαστον καὶ ἀπὸ τῶν ἡλικιῶν 5
πολλὰς ἀφορμὰς παρέξει ὁ λόγος εἰς παραμυθίαν· εἰ 21
μέν τις ἄφνω τελευτήσειεν καὶ ἀλύπως, ὅτι μακαρίως αὐτῷ ἡ τελευτὴ συνηνέχθη· εἰ δέ τις νόσῳ καὶ πολὺν χρόνον νοσήσας, ὅτι γενναίως ἐνεκαρτέρησεν τῇ νόσῳ· |

1 ἀναγκαιότερον a  4 παραμυθούμεθα P: corr Gs  9 ἀντιτίνειν P: corr a  14 an ἐπιχείρημα?  15 καὶ οὕτως καὶ Pa: καὶ οὕτως r. cf p 28, 11  18 καὶ ⟨ὅτι⟩ ἀθάν. ci Nissenus  20 καθέκαστον P  21 ante πολλὰς uereor ne intercideril alterius loci mentio qualis καὶ ἀπὸ τῶν περιστάσεων: id quod scriptor proximis u 21—p 30, 6 tractat. aetatem infra p 30, 6 | παρέξει] ἕξει Schottus  22 τελευτήσειε a  24 τῇ] ἐν τῆι P. in mg σημ(είωσαι) P

ἢ εἴ τις ἐν πολέμῳ, ὅτι ὑπὲρ πατρίδος ἀγωνιζόμενος· |
ἢ εἴ τις ἐν πρεσβείᾳ, ὅτι ὑπὲρ τῆς πόλεως· κἂν εἰ ἐν 265
ἀποδημίᾳ, ὅτι οὐδὲν διενήνοχεν· ‘μία γὰρ καὶ ἡ αὐτὴ οἶμος’ κατὰ τὸν Αἰσχύλον ‘εἰς Ἅιδου φέρουσα’· εἰ δέ τις ἐν τῇ πατρίδι, ὅτι ἐν τῇ φιλτάτῃ καὶ τῇ γειναμένῃ καὶ τοῖς οἰκειοτάτοις πᾶσιν. ἀπὸ ἡλικίας· εἰ μὲν νέος ὢν τοῦτο πάθοι, ὅτι θεοφιλής· τοὺς γὰρ τοιούτους φιλοῦσιν οἱ θεοί· καὶ ὅτι καὶ τῶν παλαιῶν πολλοὺς ἀνήρπασαν, οἷον τὸν Γανυμήδην, τὸν Τιθωνόν, τὸν Ἀχιλλέα, μὴ βουλόμενοι αὐτοὺς ἐν τοῖς κακοῖς τοῖς ἐν τῇ γῇ καλινδεῖσθαι ἢ πολὺν χρόνον ἐγκατορωρύχθαι τὴν ψυχὴν ἐν τῷ σώματι ὥςπερ ἐν τάφῳ ἢ ἐν δεσμωτηρίῳ μηδὲ δουλεύειν δεσπόταις κακοῖς, ἀλλὰ ἐλευθεροῦν· καὶ μακάριοι φυγόντες τὰ ἀλγεινὰ τοῦ βίου καὶ τὰ πάθη τὰ συμπίπτοντα τοῖς ἀνθρώποις, μυρία ταῦτα ὄντα καὶ ἄπειρα, ὀφθαλμῶν πηρώσεις, ποδῶν, ἑτέρου τινὸς μέρους τοῦ σώματος, καὶ ὅτι τῷ ὄντι ἡ νόσος ἀλγεινοτάτη. εἰς δὲ μέσην τὴν ἡλικίαν, ὅτι ἐνακμάσας τῷ βίῳ καὶ νῷ δεῖγμα τῆς
ἀρετῆς τῆς ἑαυτοῦ παρέσχεν· καὶ ὅτι ποθούμε|νος, οὐκ 266
ἀηδὴς ἤδη διὰ τὸ γῆρας γενόμενος ἀπῆλθε τοῦ βίου, ἀλλ’ ἐν ἡλικίᾳ. εἰ δὲ δὴ ἐν γήρᾳ τις τελευτήσειεν, ὅτι εἰς πᾶσαν ἀπόλαυσιν τῶν ἐν τῷ βίῳ καλῶν συνε-

3 Aeschylus Telephi fr 239 N. ἁπλῆ γὰρ οἶμος εἰς Ἅιδου φέρει 7 Menander monost. 425 et Com. Meinekii IV p. 105

1 ὑπὲρ P: ὑπὲρ τῆς a 2 κἂν ἦι ἐν P 3 διενήνοχε a 4 fort ⟨ἡ⟩ εἰς | ἅδου P 5 γεναμένηι P: corr s 6 παισὶν P: corr Sauppius 10 αὐτοῖς $P^1$ 11 κυλινδεῖσθαι a 14 ἀλλ’ uolgabatur | καὶ ⟨ὅτι⟩ μακ. ci Nissenus | φεύγοντες Pa 16 ταῦτα] ἅττα ci Radermacher | πήρωσισ· P: corr s 18 εἰς] εἰ P 19 καὶ ἐνῶι P καὶ ἐν ὧ G καὶ ἐν ᾧ uolgabatur 22 δὲ δὴ P: δὲ Ga 23 συνεμερίσθη s

μετρήθῃ αὐτῷ ὁ χρόνος. ἐν τούτῳ παρατιθέναι ἀναγκαῖον, ὁπόσα ἐν πανηγύρεσιν τερπνά, ὅσα ἐν γάμοις, παιδοποιίαις, τιμαῖς ⟨ταῖς⟩ παρὰ τῆς πατρίδος· ταῦτα γὰρ ἡ πλείων περίοδος τοῦ χρόνου παρέχειν εἴωθεν· καὶ ὅτι 'λιπαρὸν γῆρας' κατὰ τὸν Νέστορα ἐβίωσεν· ὅτι τούτου ἕνεκα ἐνδιέτριψεν, ἵνα παράδειγμα γένηται τοῖς ἄλλοις, καὶ μάλιστα εἰ ἔνδοξον εἴη τὸ πρόσωπον. ἐπὶ τέλει δὲ περὶ ψυχῆς ἀναγκαῖον εἰπεῖν, ὅτι ἀθάνατος, καὶ ὅτι τοὺς τοιούτους ἐν θεοῖς ὄντας ἄμεινον εἰκὸς ἀνταλλάττειν. ἀρχὰς δὲ ἐνίοτε αὐτὸ παρέξει τὸ πρόσωπον ἰδίας καὶ μὴ κοινάς· οἷον εἰ ἀπὸ λόγων εἴη, ὅτι ἀκόλουθον τοῖς λόγοις εὐφημεῖν αὐτόν· ἢ εἴπερ ἐπὶ ἑτέροις αὐτός τι τοιοῦτον εἰρηκὼς εἴη, ὅτι τὸν αὐτὸν ἔρανον καὶ τούτῳ ἀποδοτέον· ἢ ὅ τί ποτ' ἂν ἡ ἰδιότης τοῦ προσώπου παρέχῃ. |

267 Ἡ δὲ ἀπαγγελία ποικίλη, ἐν μὲν τοῖς ἀγωνιστικοῖς 6
συνεστραμμένη· ἐν δὲ τοῖς ἐνδόξοις καὶ μέγεθος ἔχουσιν, οἷον ὅσα περὶ ψυχῆς, διηρμένη καὶ μέγεθος ἔχουσα καὶ ἐγγὺς βαίνουσα τῆς τοῦ Πλάτωνος.

## VII

### *Προτρεπτικὸς ἀθληταῖς*

Ἀκόλουθος ἂν εἴη καί, ὡς ⟨ἂν⟩ εἴποι τις, συναφής, ὦ Ἐχέκρατες, καὶ ὁ ἐν ταύταις ταῖς πανηγύρεσι

5 λιπ. γ. Homerus τ 368 λ 136 ψ 283, de Nestore nusquam

2 πανηγύρεσι a 3 ταῖς inserui 6 ὅτι] ὃς P | ἕνεκα P: ἕνεκεν Ga 8 in mg ση(μείωσαι) P 10 ἀπαλλάττειν Pa 11 λόγων P: λόγου s 15 παρέχει P: corr Sylburgius 16 ἀγωνικοῖς a 18 διηρμένη P sed in mg quod scripsit γρ δηηγερμένη correctum in δϊεγηγερμένη dedit P$^2$ 21 titulo διονυσίου ἁλικαρνασέως † adscripsit saec XV P$^2$ 22 ἂν inseruit Sauppius

λεγόμενος λόγος, οὐκ εἰς αὐτὴν μέντοι τὴν πανήγυριν, ἀλλ' εἰς τοὺς ἀνταγωνιστὰς τοὺς ἐν τῇ πανηγύρει καὶ τοῖς ἀγωνισταῖς ἀθληταῖς δή που, ὁ προτρεπτικὸς οὕτως λεγόμενος.

Σκεπτέον οὖν πρῶτον εὐθύς, ὅς τίς ποτε ὁ λέγων (ὡς ἔγωγε οἶδα καὶ Ὀλυμπίασιν καὶ ἐπ' ἐμοῦ τοῦτο γενόμενον καὶ Πυθοῖ καὶ ἄλλοθι πολλαχοῦ τισίν)· νῦν μὲν | γὰρ ἴσως πολίτης, νῦν δὲ καὶ αὐτῶν τῶν 268
περὶ τὸν ἀγῶνά τις, ἐγὼ δὲ ἤδη καὶ τὸν ἀγωνοθέτην
2 εἶδον ἀγωνιστὴν τούτου τοῦ λόγου γεγενημένον. τὰς γὰρ ἀρχὰς ἴσως που καὶ ἐντεῦθέν τις οὐκ ἄπο καιροῦ ποιήσεται. εἰ μὲν πολίτης εἴη, ὅτι καὶ αὐτὸς πεισθεὶς τοῖς ἀγωνοθέταις καὶ τῷ τῆς πόλεως νόμῳ εἰς τὸν ἀγῶνα καθῆκεν ἑαυτὸν καὶ παρεβάλετο κινδύνῳ οὐχ ἧττον ὄντι ἐργώδει· ἐκεῖνος μὲν γὰρ σώματος, ὅδε δὲ ψυχῆς. χαλεπώτεροι δὲ οἱ ἀγῶνες οἱ τῆς ψυχῆς ἢ ⟨οἱ⟩ τοῦ σώματος. ἐπὶ μὲν γὰρ τῆς ἀγωνίας τῶν σωμάτων καὶ φανερὰ ἡ νίκη καὶ ὑπὸ τοῖς ὀφθαλμοῖς, ἥ περ ἐναργεστάτη τῶν αἰσθήσεων· ἔτι δὲ καὶ βραβευτὴς ἐφέστηκεν ἐπ' αὐτῷ τούτῳ κρείττων τοῦ παρὰ τῶν ἄλλων φθόνου. ἥδε ⟨δὲ ἡ⟩ κρίσις οὐκ ἐφ' ἑνί, ἀλλ' ἐπὶ πολλοῖς· καὶ οὐκ ὀφθαλμοῖς κρίνουσιν, ἀλλὰ γνώμῃ, ἐν ᾗ πολλὰ τὰ ἀν|τιστατοῦντα· ἄγνοια καὶ φιλοτιμία 269
καὶ φθόνος, ἐφ' ἅπασι δὲ τὸ μὴ βούλεσθαι τοὺς ἀκούοντας μείζονα εἶναι τὰ ἐπαινούμενα τοῦ περὶ αὐτῶν

1 αὐτὴν] τὴν G 3 οὗτος Pa: corr G 5 σκε[π]τέον cum litura P[1] | ὁ ἀγών· Pa: corr Schottus 6 ὀλυμπιᾶσι a 7 τισίν] εἰσιν P[1] εἰσι P[2] ἔστι Faber del Schottus 9 περὶ τῶν P 11 ἄπο sic P: ἀπὸ a 13 καὶ τῶι P: καὶ περὶ τῷ a καὶ παρὰ τῶν (deinceps νόμων) G 15 ὅδε δὲ] ὁ δὲ Pa 16 ἢ τοῦ P 18 φανερᾶι τῆι νίκηι P: corr rec P[2]G | ἧι περ P[1] ἡ περ rec P[2] 20 παρ' ἄλλων G 21 ἥδε δὲ ἡ Sauppius: ἡ δὲ Pa 23 ἑνῆι P 25 μείονα ci Schottus aut delendum esse 24 μὴ

λόγου. τούτοις δὲ ὑποβάλλειν κἀκεῖνο ἀναγκαῖον, τὸ ἀνελεῖν ὡς ἀντικείμενον ἐκ τῆς τοῦ προσώπου ποιότητος, εἰ μὴ καταφρονητέον λόγων τοῖς ἀθληταῖς ἅτε ἐν ἔργοις ἀσκοῦσι. λόγος γὰρ εἰς πάντα ἐπιτήδειος καὶ πρὸς πᾶν ἐπιρρώννυσιν· οὕτως καὶ ἐπὶ πολέμου καὶ ἐπὶ παρατάξεως δέονται στρατιῶται τοῦ παρὰ τῶν στρατηγῶν λόγου καὶ τῆς προτροπῆς, καὶ αὐτοὶ αὑτῶν ἐρρωμενέστεροι ἐγένοντο. μάλιστα δὲ οἱ ἀθληταὶ δέοιντο ἂν τῆς ἀπὸ τοῦ λόγου προτροπῆς καὶ ἐπικελεύσεως, ὄντες μὲν καὶ αὐτοὶ Ἑρμοῦ τε καὶ Ἡρακλέους μαθηταί τε καὶ ζηλωταί (ὧν ὃ μὲν εὑρετὴς τοῦ λόγου ἢ αὐτὸ χρῆμα λόγος· ὃ δὲ σὺν τῇ Ἀθηνᾷ πάντα κατώρθωσεν τὰ ἐπιταχθέντα· ἢ δὲ τί ἂν ἄλλο εἴη ἢ νοῦς τε καὶ λόγος;), καὶ ὁσημέραι δὲ ἐπὶ ταῖς γυμνασίαις ἑκάστοτε τοιούτους τοὺς ἐπικελευομένους ἔχοντες
270 αὐτοῖς. | εἶτα διαφορὰν ἐρεῖς, ὅσῳ κρείττων οὗτος τοῦ 3
ἐκείνων ἔπαινος· καὶ ταῦτα, ὅτι ὃ μὲν ἐκ τῶν ἐπιτυχόντων, οὗτος δὲ ἀπὸ τῶν δεδοκιμασμένων καὶ βίῳ καὶ λόγῳ καὶ δόξῃ· καὶ ἐκεῖνος μὲν ἔθει τινί, οὗτος δὲ νόμῳ πόλεως καὶ δόγματι ἀρχόντων· κἀκεῖνος οἷον ἐπιβόησίς τις, μηδὲν τῶν ἤχων διαφέρων, οὗτος δὲ μετὰ ἐπαίνων καὶ ἀποδείξεων παράκλησις. εἶτ' ἀκόλουθον τοῖς περὶ τὸ τοῦ σώματος καλὸν σπουδάσασιν καὶ περὶ τὸ καλὸν τὸ ἐπὶ τῇ ψυχῇ σπουδάσαι καὶ

1 ὑποβάλλον P[1] 3 εἰ] ὅτι Sauppius | λόγου Sylb | ἅτε] ὅτι Pa 4 fort ἐπ' | δοκοῦσι P: corr Rombergius 5 οὕτω a 8 αὐτῶν P: corr s 12 αὐτοχρῆμα P 13 κατώρθωσε a 14 ὁσήμεραι P 16 αὐτοῖς P | τοῦ] ὧν P om apographa nonnulla. fort τῶν ⟨ἀπ'⟩ 17 ἔπαινος·] εἰδέναι Pa τοσούτῳ δεῖ εἰδέναι G 20 οἷον Schottus: δι' ὃν P 22 ἀποδείξεων. παράκλησις εἰ sic distinguit P | εἶτ'] εἰ P ὅτι Sauppius 23 σπουδάσωσιν P: σπουδάζουσι G σπουδάσουσι a

*μᾶλλον, ὅσῳ τιμιώτερον ψυχὴ σώματος, εἰ μὴ καὶ αὐτοὺς ἀσκοῦντας, ἀλλὰ τοῖς ἀσκήσασι πειθομένους· ὅπερ οὐδὲ δυσχέρειάν τινα ἔχει οὐδὲ πόνον, ἄλλως τε καὶ ἐπὶ συμφέροντι τῶν πεισθέντων τῆς πειθοῦς γινομένης· ὥςπερ γὰρ καὶ ἐν στρατοπέδῳ οἱ γνησιώτατοι παρὰ τῶν στρατηγῶν λόγους ἀκούσαντες μάλιστα φιλοτιμοῦνται περὶ τὴν νίκην, οὕτως καὶ οἱ ἐν τοῖς ἀγῶσι προτρεπτικοὺς λόγους οἰκείως ἀναδεξάμενοι· μάλιστα γὰρ ἂν ὀρέγοιντο τοῦ περιγενέσθαι. καὶ ὅτι τοῖς | ἐπαγγελλομένοις τὴν σωτηρίαν τὴν τοῦ σώματος προσ-* 271
*ήκει καὶ ἀψευδεῖν. ἐν τούτῳ· εἰ δήπου τις, καίτοι τῆς ἀπὸ τούτων δόξης ἀδήλου τυγχανούσης, ὅμως ἐφίεται τούτου ἄλλως μηδὲ ἀνάγκης οὔσης, πόσῳ μᾶλλον ⟨εἰκὸς⟩ τοὺς ἐπ' αὐτὸ τοῦτο παρόντας καὶ παραδεδωκότας ἑαυτοὺς καὶ τούτου ἕνεκα ἐπὶ τοσοῦτον τοῖς γυμνασίοις χρησαμένους καὶ ὑπευθύνους ἑαυτοὺς καταστήσαντας πειθομένους φαίνεσθαι τῷ ἐπὶ τοῦτο ὑπὸ τῆς πόλεως καὶ τῶν ἀγωνοθετῶν καὶ τοῦ νόμου προκεχειρισμένῳ;*

*Εἰ δὲ δὴ καὶ ἀγωνοθέτης εἴη ὁ λέγων, πρὸς τούτοις ἢ πρὸ ἁπάντων τούτων ἁρμόσει εἰπεῖν, ὅτι ⟨εἰ ὁ⟩ διατιθεὶς τὸν ἀγῶνα οὐκ ὤκνησεν ἀγωνιστὴν καὶ ἑαυτὸν καταστῆσαι καὶ ὑποβαλεῖν τῇ τῶν ἀκουόντων κρίσει ἕνεκα τοῦ ἀγῶνος καὶ τοῦ ἔνδοξον καὶ μέγαν*

3 fort *οὔτε—οὔτε* 4 *συμφέρον τι* P | *πιθοῦς* P 5 *ὅπερ* P: corr Sylburgius 7 *οὔτωσ* P: *οὔτω* a | *οἱ ἐν* P: *οἱ ἐπὶ* a *ἐπὶ* G 9 *γὰρ ἂν* P: *γὰρ* a *ἂν* G 9—11 sententia non huc pertinet 10 *ἐπαγγελομένοις* P | *τὴν τοῦ* P: *τοῦ* a 11 *ἀψευδεῖν ἐν τούτῳ. εἰ* distinguebatur 12 *τούτων* i e *τῶν λόγων*. similis sententia est p 35, 11—15 13 *εἰκὸς* inserui 15 *ἕνεκα* P: *ἕνεκεν* Ga 17 *ὑπὸ* P: *ἐπὶ* a 18 *νόμωι προκεχειρισμένου* P[1] | *προκεχειρισμένου* a 20 *τούτων* om G | *εἰ ὁ* inserui 21 *καὶ* om G 22 *ἑαυτὸν* P: *ἐπ' αὐτὸν* a 23 *μέγα* P: corr G Sylb

καὶ περισπούδαστον τοῦτον γενέσθαι, πολλῷ δήπου
ἀναγκαιότερον αὐτοῖς ⟨τοῖς⟩ ἀγωνιζομένοις καὶ κληρο-
νομεῖν μέλλουσι τῆς τοῦ ἀγῶνος δόξης. Τῷ δὲ ξένῳ
272 καὶ τοῦτο ἂν ἁρμόζοι | λέγειν, ὅτι προσήκων αὐτῷ ὁ
λόγος διὰ τὴν ἐπιδημίαν καὶ τὴν μετουσίαν τῆς θέας·
οἱ γὰρ τῆς θέας μεταδόντες καὶ τοῦ λόγου τοῦ περὶ
αὐτῆς μετέδοσαν ἄλλως τε καὶ ἐπὶ τῷ ἐνδοξοτέραν
τὴν πανήγυριν γενέσθαι. καὶ ὅτι γνήσιος πολίτης
οὐχ ὁ ἐγγεγραμμένος μόνον, ἀλλὰ πολλῷ μᾶλλον
ὁ εὔνους τῇ πόλει καὶ περὶ τὰ καλὰ μόνον τὰ τῆς
πόλεως σπουδάζων. εἰ δὲ δὴ καὶ μὴ πολίτης ὢν
ἐπείσθη τοῖς ἐπιτάξασι καθεῖναι ἑαυτὸν εἰς τὸν
ἀγῶνα, πολλῷ δήπου μᾶλλον τοῖς ἀθληταῖς σπουδα-
στέον περὶ αὐτὸν τοῖς ὡς ἂν εἴποι τις πολίταις τοῦ
ἀγῶνος οὖσι.

Τούτων δὲ τῶν ἀφορμῶν τάχα ἄν τινες καὶ εἰς 4
τὸν πανηγυρικὸν λόγον ἁρμόζοιεν, τοιούτων προσώπων
πανηγυριζόντων καὶ τοιούτων ποιοτήτων ἐμπεριειλημ-
μένων. τοιαύτης δὲ τῆς προκαταστάσεως γενομένης
ὑποβλητέον καὶ τὸν περὶ τῶν πανηγύρεων καθόλου
λόγον ἔπαινον ἔχοντα τῶν προκαταστησαμένων, ὅτι
τῶν πολέμων καὶ τῶν πρὸς ἀλλήλους διαφορῶν κατα-
273 παύσαντες τὰς πό|λεις συνήγαγον ὥςπερ εἰς μίαν
πόλιν τὴν πατρίδα πάντων, ὡς κοινῇ συνελθόντας
θύειν καὶ ἑορτάζειν λήθην ἁπάντων τῶν πρότερον
ποιησαμένους· καὶ οὐ ταῦτα ἀπέχρησε μόνον, ἀλλὰ

1 δήπου] δήπου καὶ G 2 τοῖς suppleuit Sauppius cf p 36, 6 4 τοῦτο P: τούτῳ a | προσῆκον P¹: corr rec P² 12 ἐπείσθην P: corr G 18 ποιητῶν Pa: corr Schottus 19 δὲ τῆς P: δὲ a | γινομένης Pa 20 τῶν om G 21 τῶν καταστησαμένων Schottus cf p 37, 10 22 διαφορῶν P: διαφόρων Ga 25 fort τῶν πρότερον ⟨ἀνιαρῶν⟩ uel ⟨λυπηρῶν⟩

καὶ θεάματα καὶ ἀκροάματα μυρία ἐπὶ μυρίοις προέθεσαν, οὐκ εἰς ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ πρὸς ὠφέλειαν· διὰ μὲν τῶν μουσικῶν ἀκροαμάτων παιδεύοντες ἡμᾶς, διὰ δὲ τῶν γυμνικῶν συνασκοῦντες εἰς τοὺς πολέμους. καλὸν μὲν οὖν καὶ τοῖς ἐπιδημοῦσι σπουδάζειν περὶ τὴν θέαν, πολὺ δὲ κάλλιον τοῖς ἀγωνιζομένοις αὐτοῖς. τοῖς μὲν γὰρ πρόσκαιρος ἡ τέρψις, τοῖς δὲ ἀθάνατος ἡ δόξα· καὶ παραχρῆμα μὲν γίνεται ἑκάστῳ τούτων εὐφημεῖσθαι καὶ δακτυλοδεικτεῖσθαι ἐπὶ τοῖς καλλίστοις, νικᾶν, στεφανοῦσθαι, ἀναγορεύεσθαι, διὰ μιᾶς πράξεως καὶ νίκης οὐ μιᾶς πόλεως γενόμενον ἀλλὰ σχεδὸν ἁπάσης τῆς οἰκουμένης· ἕκαστος γὰρ τῶν παρόντων τῆς ἀρετῆς ἀποδεχόμενος τῇ εὐνοίᾳ ὡς πολίτην αὐτοῦ προσοικειοῦται, τὸ τοῦ Ὁμήρου δὴ τοῦτο· ʽἐρ|χόμενον δὲ ἀνὰʼ τὴν πανήγυριν ʽθεὸν ὣς 274
εἰσορόωσινʼ, οὐ μόνον γε ἀλλὰ καὶ μετὰ τὴν πανήγυριν, ὅποι ⟨ἂν⟩ αὐτὸν ἴδωσι μόνον. καὶ ἀγωνιζομένῳ ταῦτα καθʼ ἕκαστον ἀγῶνα· παυσαμένῳ δὲ παραμένουσιν τὸν βίον σύμπαντα οἱ καρποὶ ⟨οἱ⟩ ἀπὸ τῆς νίκης, τὴν περιουσίαν τοῦ βίου ἄφθονον παρέχοντες· μετὰ δὲ τὴν τελευτὴν ἡ μνήμη ⟨ἡ⟩ ἀπὸ τῶν ἀνδριάντων καὶ τῶν εἰκόνων εἰς τὸ ἀνάγραπτον ἔχειν τὴν δόξαν οὐκ ἐν ταῖς μνήμαις σῳζομένην μόνον, ἀλλὰ

15 Homerus ϑ 173 ἐρχόμενον δʼ ἀνὰ ἄστυ θεὸν ὣς εἰσορόωσιν

1 prius καὶ om G | ἐπὶ om G 4 γυμνικῶν ⟨θεαμάτων⟩ ci Schottus 5 μὲν om G 10 ἐπὶ τοῖς—ἀναγορεύεσθαι om a 11 πολέως P[1] 13 τῆς ἀρετῆς] fort post uerbum intercidit ἔλεγχον 14 αὐτοῦ P 17 ὅποι ἂν G[2]: ὅποι P facilis est coniectura ὅπῃ 18 καθέκαστον P | δὲ P: om a | παραμένουσι a 19 οἱ inserui itemque 21 ἡ 22 εἰστὸ P: fort ἔτι τε τὸ 23 τοῖς μνημείοις ci Schottus sed cf Plato leg. V p 741[c] κυπαριττίνας μνήμας

καὶ διὰ τῶν συγγραμμάτων συμπαραμένουσαν ἅπαντι τῷ χρόνῳ.

Εἶτα ἐπὶ τούτοις προσάξεις καὶ τὸν περὶ τῆς πόλεως 4
λόγον, ὅτι καὶ διὰ τὴν πόλιν αὐτὴν σπουδαστέον περὶ τὸν ἀγῶνα. σύμμετρος δὲ γινέσθω ὁ ἔπαινος, ἐπειδὴ οὐ περὶ αὐτοῦ νῦν πρόκειται. ἀφορμαὶ δὲ εἰς τοῦτο ἔσονται δήπου ἱκαναὶ αἱ προειρημέναι ἐν ταῖς περὶ τοῦ πανηγυρικοῦ λόγου μεθόδοις. ὁμοίως δὲ καὶ περὶ αὐτῆς τῆς πανηγύρεως ἐρεῖς ἐφεξῆς, καὶ πόθεν ἤρξατο,
275 καὶ τίς ὁ | καταστήσας, καὶ τίνων θεῶν ἐπάγεται, καὶ τίς ὁ ἐπώνυμος αὐτῆς· καὶ ἔπαινος διὰ βραχέων ἀπὸ τῶν αὐτῶν ἀφορμῶν τῶν ἐκεῖ παραδεδομένων. ἀναγκαῖον δὲ ἐνταῦθα γενόμενον καὶ σύγκρισιν ποιήσασθαι πρὸς τοὺς ἄλλους ἀγῶνας. ἡ δὲ σύγκρισις ἔσται καὶ ἀπὸ τόπου τοῦ ἀγῶνος, οἷον <ὅτι * * *, καὶ> ἀπὸ χρόνου, ὅτι ἀρχαιότατος· ἢ εἰ νέος, ὅτι ὅσον τῷ χρόνῳ ὑποδεῖ, τοσοῦτον τῇ δόξῃ προέχει· καὶ ὅτι εἰ νῦν περισπούδαστός ἐστι, πολλῷ περισπουδαστότερος ἔσται λαβὼν τὸν χρόνον. εἰ θεὸς εἴη ὁ ἐπώνυμος, τὰ προσόντα τῷ θεῷ· εἰ τῶν ἡρώων τις, ὁμοίως τὰς πράξεις· εἰ ἐπιτάφιος, ὅτι καὶ αὐτὸς διὰ τὴν ἀρετὴν τοῦ ἀγῶνος καὶ τῆς τούτου θέσεως ἠξιώθη. ἔτι καὶ τὴν πόλιν παραβαλεῖς πρὸς τὰς ἄλλας, ἀπὸ μεγέθους, ἀπὸ κάλλους,
276 ἀπὸ οἰκιστοῦ, ἀπὸ οἰκειώματος· εἴρηται | δὲ καὶ ταῦτα

24 cf p 5, 6 sq. 16, 8. 23, 19

4 περὶ om G 7 περὶ om G ut iussit Schottus. dictionem neglegentiorem si quis tolerare non audeat, legat potius ἐν τοῖς περὶ — μέθοδοι 9 ἐφέξῆσ P 10 καταστὰς a | καὶ τίνα G | ἐπάγεται P: ἀπάγεται a nondum sanatum ἄγεται Schottus 11 τί[σ] cum ras P[1] | ἀπὸ] διὰ Pa 15 hiare orationem Wolfius perspexerat 16 ἢ εἰ νέος. ἢ ὅτι a | ὑποδεῖ Pa: ἀποδεῖ ex apographis aliquot Schottus. cf adi. ὑποδεής 18 fort προσλαβὼν 20 εἰ P: ἢ a ἢ εἰ Schottus | εἰ δ' ἐντάφιος Schottus

ἤδη. τούτων δὲ ῥηθέντων οἰκειότατα ἂν ἐπαχθείη ὁ πρὸς τοὺς ἀθλητὰς λόγος κατὰ τὸν Θουκυδίδην· Περὶ τοιαύτης οὖν πόλεως καὶ τοιούτου ἀγῶνος πολλοὶ μὲν καὶ ἄλλοι καὶ πάλαι ἐφιλοτιμήσαντο καὶ ἐσπούδασαν νικηφόροι γενέσθαι.

6 Ἐπειδὴ δὲ διάφορα τὰ πρόσωπα, τὰ μὲν ἔνδοξα, τὰ δὲ ἧττον, καὶ τὰ μὲν ἀπὸ στεφάνων πολλῶν, τὰ δὲ νῦν πρῶτον ἀρχόμενα, πειρασόμεθα ἕκαστον ἀπὸ τῶν οἰκείων καὶ προσφόρων προτρέψασθαι· οἷον τοὺς μὲν πολλοὺς ἔχοντας στεφάνους, ὅτι καλόν, μὴ ὅπως καταισχῦναι τούτους, ἀλλὰ καὶ προσθεῖναι καὶ πλείους ἀποφῆναι· συναύξεται γὰρ τοῖς στεφάνοις καὶ ἡ δόξα. τοὺς δὲ ὀλίγους, ὅτι δεῖ μὴ τούτοις ἀρκεῖσθαι, ἀλλὰ καὶ βεβαιώσασθαι τούτους ὅτι καὶ μετὰ τῆς ἀληθείας καὶ προῖκα, τῷ ἐπαγωνίσασθαι καὶ προσλαβεῖν ἑτέρους. | τοὺς δὲ νῦν πρῶτον ἀρξομένους· 'ἀρχὴ δέ τοι 277 ἥμισυ παντός'. καὶ τοῖς ἡττημένοις πρότερον καλὸν ἀναμάχεσθαι, ἵνα μὴ καὶ ψυχῇ καὶ σώματι, ἀλλὰ τύχῃ μᾶλλον δοκῶσιν τῇ ἥττῃ κεχρῆσθαι. εἶτα συμπροτρέψεις τοὺς μὲν κατὰ τὸ αἰσχρόν, τοὺς δὲ κατὰ τὸ καλόν, ὅτι τοῖς μὲν πολλοὺς ἔχουσι καὶ προνενικηκόσιν αἰσχρὸν τὸ ἡττηθῆναι τῶν μήπω νενικηκότων, τοῖς δὲ ἄλλοις ἔντιμον καὶ οὐδὲ ὑπερβολὴν εἰς δόξης λόγον ἔχον ⟨τὸ⟩ τοὺς νενικηκότας κρατῆσαι καὶ δι' ἑνὸς στεφάνου προσλαβεῖν τὴν τούτων δόξαν. εἶτα πειρα-

2 cf Thucydides II 41 extr 16 Diogen. II 97 al. cf 15, 1—3

2 περὶ ταύτης a 7 post πολλῶν conicias τὰ δὲ ἀπὸ ὀλίγων intercidisse, sed cf infra u 16 9 προτρέψεσθαι s 11 καταισχύνῃ P, a: corr Wolfius 14 ἀληθείας cf p 39, 15 17 exspectes καὶ τοὺς ἡττημένους πρότερον ⟨ὅτι⟩ 18 μὴ καὶ] μὴ Sauppius 19 δοκῶσι a 21 αἰσχρὸν τοῦ P: corr Gs 24 τὸ inserui

σόμεθα ἀναιρεῖν, δι᾽ ἃ ἐπὶ τὸ διαφθείρεσθαί τινες τρέπονται, τῷ αἰσχρῷ καὶ ἀδόξῳ, ὅτι αἰσχρὸν χρημάτων προέσθαι τὴν νίκην, κατὰ ἀμφότερα τὰ πρόσωπα τὸ αἰσχρὸν προσάπτοντες, καὶ κατὰ τὸ τῶν διδόντων καὶ κατὰ ⟨τὸ⟩ τῶν λαμβανόντων, ὅτι οἱ μὲν χρήματα ἀντὶ δόξης ἀνταλλάσσονται· ἐν ᾧ οἷα μὲν τὰ χρή-
278 ματα, οἵα δὲ ἡ δόξα· τὰ μὲν πρόσκαιρα, ἡ δὲ | ἀθάνατος· καὶ τὰ μὲν τύχη καὶ χρόνος καὶ πόλεμος ἀφεῖλεν, ἡ δὲ ἀναφαίρετος ὑπὸ τούτων· καὶ τὰ μὲν ζῶντας εὐφραίνει, ἡ δὲ μετὰ τὴν τελευτὴν ζηλωτοὺς ἀποφαίνει· καὶ τὰ μὲν καὶ ἀπὸ κακίας περιγίνεται, ἡ δὲ ἀπὸ ἀρετῆς καὶ ἀνδραγαθίας. ἔπειτα καὶ οἱ δόντες τῷ μὲν δοκεῖν νενικήκασιν, τῇ δ᾽ ἀληθείᾳ ἐώνηνται τὴν νίκην· καὶ ὅτι οὐ δόξαν κτῶνται, ἀλλ᾽ αἰσχύνην, τὸ γὰρ μὴ μετὰ ἀληθείας κρατῆσαι πρὸς αἰσχύνην μᾶλλον τῷ κρατήσαντι ἢ δόξαν· καὶ ὅτι εἰ καὶ λανθάνοιεν τοὺς ἄλλους, ἀλλ᾽ ἑαυτοῖς συνίσασιν, καὶ παρὰ τοῖς ἄλλοις μὲν δοκοῦσι κρατεῖν, παρὰ δὲ ἑαυτοῖς ἥττηνται· καὶ ὅτι οὐδὲ ἡδονὴ ἐπὶ τῆς τοιαύτης νίκης· καὶ ὅτι ὁ τῆς αἰσχύνης ἔλεγχος ἀεὶ συμπάρεστιν αὐτοῖς τῆς ἐπονειδίστου νίκης. καὶ ὅτι χείρους τῶν προδοτῶν· ἐκεῖνοι μὲν γὰρ τοὺς ἄλλους πωλοῦσιν, οὗτοι δὲ καὶ ἑαυτούς· καὶ ὅμοιοι τοῖς πόρνοις εἰσὶν ἐπὶ τοῖς σώμασιν τοῖς ἑαυτῶν λαμβάνοντες· κἀκεῖνοι μὲν ἴσως

2 τρέποντες P: corr Gs 5 τὸ suppleuit Sylburgius 7 οἷα δὲ P 9 ζῶντα P: corr Sauppius 11 μὲν καὶ P: μὲν a 12 ante ἔπειτα inserenda esse quae infra u 21 καὶ ὅτι χείρους — p 40, 2 ἐκδόντες leguntur, recte Schottus uidit 13 νενικήκασι a | τῆι δ᾽ sic P 16 δόξαν Gs: δόξησ· P 17 συνίσασι a 19 ἐπὶ] fort ἐστὶ | ταῖς τοιαύταις νίκαις ci Sylburgius, fuit qui τῇ τοιαύτῃ νίκῃ coniceret 21 fort ⟨ἐκ⟩ τῆς | καὶ — p 40, 2 ἐκδόντες non suo loco leguntur, cf adn u 12 22 ἄλλους ποιοῦσιν a 24 σώμασι a | κακεῖνοι P: ἐκεῖνοι a

καὶ δι' ἡλικίαν ἐξαπατηθέντες, οὗτοι δὲ δι' αἰσχροκέρδειαν ἑαυτοὺς ἐκδόντες. | (279) εἶτα ὅτι οὐδὲ λανθάνουσιν· ῥᾳδίως γὰρ ὁρῶνται καὶ ἐκ τῶν σωμάτων καὶ ἐκ τῶν γυμνασιῶν καὶ ἐκ τῶν προγεγενημένων ἀγώνων. ἐν ᾧ· τίνα τὰ ἐπὶ τούτοις; μάστιγες, ὕβρεις, αἰκίαι σωμάτων, ἃ δούλων καὶ οὐκ ἐλευθέρων· τὸ παρὰ τοῖς θεαταῖς βλασφημεῖσθαι ἀντὶ τοῦ ἐπαινεῖσθαι κροτεῖσθαι στεφανοῦσθαι· ἐνίοτε δὲ [καὶ] ζημία καὶ τὸ ἐκβάλλεσθαι καὶ ἐκ τῶν σταδίων καὶ ἀγώνων, μέγιστον δὲ ἐπ' ἐλευθερίᾳ φρονοῦντας εἰς τὰς τῶν δούλων τιμωρίας περιορᾶν αὐτοὺς ἐμπίπτοντας. καὶ ἂν μὲν δοῦλον αἰσθάνωνταί τινα τῶν ἀγωνιζομένων εἶναι, κατηγορεῖν αὐτοῦ καὶ ὡς ἀνάξιον τοῦ ἀγῶνος ἐκκρίνειν· αὐτοὺς δὲ τὰς παρὰ τῶν ἀθλοθετῶν ψήφους τῆς ἐλευθερίας λαμβάνοντας τὴν τῆς δουλείας καθ' ἑαυτῶν φέρειν.

7 Ἐν δὲ τούτῳ τῷ τόπῳ γενομένους ἀναγκαῖον | (280) καὶ τῶν ἀρχαίων μνημονεύειν καὶ παραδείγματα φέρειν, ὅσοι ἔνδοξοι· οἳ μὲν ὅτι ἀήττητοι, οἳ δὲ ὅτι πλείστας νίκας ἤραντο, οἳ δὲ ὅτι εἰ καὶ ὀλίγας, ἀλλὰ τὰς ἐνδοξοτάτας, καὶ ὅτι πάσας προῖκα, καὶ ὅτι ἀπὸ σωφροσύνης, ἀπὸ ἐγκρατείας, ἀπὸ τῆς ἀσκήσεως τοιοῦτοι ἐγένοντο· καὶ ὅ τι αὐτοῖς τοιοῦτον συνέβη· ὅτι πολλοὶ καὶ ἰσόθεοι ἐνομίσθησαν, οἳ δὲ καὶ ὡς θεοὶ τιμῶνται τῶν πάλαι.

1 αἰσχροκερδίαν P: corr Gs 2 λανθάνουσι a 4 γυμνασίων a 5 ὕβρις uitiose h 8 καὶ inclusi 9 καὶ τὸ] κατὰ τὸ Pa τὸ Sauppius | ἐκβάλεσθαι P ἐκβαλέσθαι Ga: corr Sylburgius | καὶ ante ἐκ om G | ἀγώνων· distinguebant. tu cf Demosth. or. 19, 261 11 αὐτοὺς P: corr s 12 δούλων P: corr P. Faber Agonistic. III 17 13 κατηγορίαν Pa: corr G | ἀναξίου Pa: corr Faber 14 τῶν ἀθλητῶν a 15 δουλ[εί]ας cum litura P | καθ' ἑαυτῶν] οἴκοθεν αὐτὸν Pa οἴκοθεν καθ' αὑτῶν Sylburgius 19 ἤιραντο P 21 ἀπὸ τῆς P: ἀπὸ a 22 καὶ ὅτι Pa | τοιοῦτο s 23 τιμῶνται] τιμῶνται καὶ Pa | τῶν delebat Sauppius.

II

# COMMENTARIA SCHOLASTICA RHETORICA

VIII *Περὶ ἐσχηματισμένων $\overline{α}$*

IX *Περὶ ἐσχηματισμένων $\overline{β}$*

X *Περὶ τῶν ἐν μελέταις πλημμελουμένων*

XI *Περὶ λόγων ἐξετάσεως*

Libris p 2 memoratis inde a c. X accedit

M codex Venetus Marcianus 508 f. 196

## VIII

### *Περὶ ἐσχηματισμένων ᾱ*

Ἀγῶνας ἐσχηματισμένους παντάπασιν οὔ φασιν εἶναι τινές, ἀλλὰ μέρη μὲν ἀγώνων ἐσχηματίσθαι συνομολογοῦσιν, τὸ δὲ ὅλας ὑποθέσεις διὰ τούτου τοῦ τρόπου τῶν λόγων περαίνεσθαι οὐχ οἷόν τε εἶναι φασί (μὴ
281 γὰρ | δυνατὸν εἶναι μὴ σαφῶς ἀκούοντας τοὺς ἀκροωμένους συνιέναι περὶ οὗ ὁ λόγος ἐστίν), οὐδὲ τοὺς παλαιοὺς κεχρῆσθαι τῷ τοιούτῳ εἴδει τῶν λόγων καὶ τῶν ἀγώνων. ἡμεῖς δὲ καὶ ὅσοι τρόποι τῶν ἐσχηματισμένων ἀγώνων, φράσομεν, καὶ τῆς μεταχειρίσεως αὖ τὴν μέθοδον δηλώσομεν, αὐτοὺς τοὺς παλαιούς, οὓς οὔ φασί τινες κεχρῆσθαι τῷ τρόπῳ τῶν λόγων, μαρτυρόμενοι.

Ἔστι γὰρ τῶν καλουμένων σχημάτων εἴδη γ̄· τὸ 2
μέν ἐστι σχῆμα λέγον μὲν ἃ βούλεται, δεόμενον δὲ εὐπρεπείας ἢ δι᾽ ἀξίωσιν τῶν προσώπων, πρὸς οὓς ὁ λόγος, ἢ δι᾽ ἀσφάλειαν πρὸς τοὺς ἀκούοντας. καὶ τούτῳ μὲν τῷ εἴδει οὐκ ἀντιλέγουσιν οἱ ῥητορικοί, ἀλλὰ καλοῦσιν αὐτὸ χρῶμα. τοὺς γὰρ εὐπροσώπους λόγους, οὐκ οἶδα ὁπόθεν ὁρμηθέντες, οὕτως ὀνομάζουσιν, ὅταν ἢ πρὸς πατρίδα τις διαλέγηται ἢ πρὸς

2 ᾱ P: πρῶτον G  4 συνομολογοῦσι a  8 οὔτε P: corr Sauppius  11 μεταχειρήσεως a  12 αὖ] αὐτὴν P αὐτῶν G αὐτῆς ci Sylburgius  13 τῶν Pa: τούτω τῶν G  15 γὰρ Pa: δὲ G | τρία Ga  17 πρὸς ἃ Schottus

ἀριστέα ἢ πρὸς | στρατηγὸν ἢ πρὸς ἀρχήν τινα ἢ 282 πρὸς ὅλην πόλιν. τὸ δέ τι σχῆμά ἐστι πλαγίως ἕτερα μὲν λέγον, ἕτερα δὲ ἐργαζόμενον ἐν λόγοις. τρίτον σχῆμά ἐστι τὸ οἷς λέγει τὰ ἐναντία πραχθῆναι πραγματευόμενον.

3 Τοῦ μὲν οὖν καλουμένου ὑπὸ τῶν πολλῶν χρώματος οὔτε ἀποκεκρυμμένη οὔτε χαλεπὴ ⟨ἡ⟩ μέθοδος. ἐπιείκεια γὰρ προστεθεῖσα τοῖς λόγοις καὶ τὸ ὑποστέλλεσθαι τῇ παρρησίᾳ, αὐτό ⟨τε⟩ τοῦτο τὸ αἰδεῖσθαι προσποιεῖσθαι καὶ τὸ ὁμολογεῖν μὴ βούλεσθαι τολμηρῶς μηδὲ ἀποκεκαλυμμένως λέγειν ἡ μέθοδός ἐστι τῶν τοιούτων λόγων. μεγίστη δὲ καὶ βαθυτάτη ἐν τούτοις τοῖς λόγοις μέθοδος, τὸ ἑτέρας αἰτίας ὑποβαλέσθαι εὐσχήμονας πρὸ τῶν λυπούντων λόγων. Οἱ δὲ ἕτερα μὲν λέγοντες, ἕτερα δὲ βουλόμενοι τίνι μεθόδῳ χρῶνται; προτείνουσι μὲν ἕτερα κεφάλαια τοῖς ἀκροωμένοις· ἃ δὲ βούλονται πεῖσαι, τοῖς προταθεῖσι συγκατασκευάζουσι. καὶ τρόπον τινὰ διπλοῦν ἀγῶνα ἀγωνίζονται· τῷ μὲν γὰρ λόγῳ | τὸ κοινὸν προτεί- 283 νουσιν, τέχνῃ δὲ οὗ τὴν χρείαν ἔχουσιν. Ὁ δὲ οἷς λέγει τὰ ἐναντία βουλόμενος λόγος ἀκούεσθαι οὑτωσὶ ἄτοπόν τινα τὴν μέθοδον ἔχειν δόξει· δεῖ γὰρ εἰς ἐναντιώσεις ὑποπίπτοντα φαίνεσθαι τοῖς ἀκούουσιν· καὶ ἐν τούτῳ τῷ εἴδει τὸ καινότατον δὴ φαίνεται τέχνη ῥήτορος οὖσα τὸ ἐναντία λέγειν. τίς ὁ λόγος;

1 πρὸ στρατηγὸν P 2 τι] δεύτερον G | πλάγιον G 3 λέγων P | τὸ δὲ τρίτον G 7 ἡ inseruit Sauppius 8 προσθεῖσα P: corr Ga 9 τῆς παρρησίας Schottus | αὐτὸ τοῦτο P: καὶ αὐτὸ τοῦτο Ga 13 κάθοδος P: corr Gs 16 μὲν P: μὲν γὰρ s 17 προτεθεῖσι G 19 προτείνουσι a 21 ἀκοῦσαι Pa: corr Schottus 22 τὴν om G 23 ἀκούουσι a 24 καινότατον P: κοινότατον Ga

βραχὺς καὶ σαφής. ὥςπερ γὰρ ἐν τοῖς ἁπλοῖς τῶν ἀγώνων ὠφέλειαν ἔχει τὸ μὴ δοκεῖν ἐναντία λέγειν, οὕτως ἐνταῦθα κέρδος αἱ ἐναντιώσεις ἔχουσιν, τὸ δὲ μὴ ἐναντία λέγειν ζημίαν. καὶ πάνυ δικαίως· εἰ γὰρ οἷς λέγει τις τὰ ἐναντία βούλεται, ἂν ⟨ἃ⟩ λέγῃ πείσῃ, τὰ ἐναντία πράξει· ἂν δὲ ἃ βούληται κατεργάζηται, τὰ ἐναντία οἷς λέγει πείθειν δόξει. μέθοδος δὲ τούτων τίς; ὥςπερ ἐν τοῖς ἁπλοῖς ἀγῶσι * * *, ⟨οὕτως ἐν τοῖς τοιούτοις ἀγῶσι⟩ τὰς προτάσεις τὰς οἰκείας ἀσθενεῖς
284 εἶναι δεῖ, τὰς δὲ τοῦ ἀντιδίκου | ἰσχυράς, καὶ τὰ μὲν παρ᾽ αὐτοῦ εὐδιάλυτα προβάλλεσθαι, τὰ δὲ παρὰ τοῦ ἐναντιουμένου δυσκαταγώνιστα· αὕτη μία μέθοδος. δευτέρα δέ· ὥςπερ ἐν τοῖς ἁπλοῖς ἀγῶσιν οὐ χρὴ στρεφόμενα λέγειν οὐδ᾽ οἷς ἂν καὶ ὁ ἀντίδικος χρήσαιτο, οὕτως ἐν τοῖς τοιούτοις τῶν ἀγώνων τοιαῦτα λέγειν δεῖ, οἷς καὶ ὁ ἀντιλέγων χρήσεται. οἱ μὲν οὖν κυριώτατοι τρόποι τῶν ἐσχηματισμένων λόγων οὗτοι.

Ἤρτηνται δὲ τούτων τῶν τρόπων κἀκεῖνα· τὸ τὰ αὐτὰ 4
δοκοῦντα λέγειν ἑτέρῳ προειπόντι ἑτέραν ὑπόθεσιν διοικεῖσθαι· τὸ ἐναντιοῦσθαι δοκοῦντα τῷ λόγῳ βοηθεῖν τῷ ἔργῳ, προκατασκευάσαντος τοῦ σχήματος τὴν χρείαν· τὸ ⟨ὡς ἐροῦντα⟩ ἐν ἄλλῳ λόγῳ ὑπερβαλέσθαι τὴν ὑπὲρ αὐτοῦ παρρησίαν εἰς ἕτερον καιρόν.

3 αἱ om G | ἔχουσι a 4 μὴ P: δὴ a om G | ζημίαν καὶ πάνυ. δικαιώσει γὰρ Pa 5 βούλεται αν λέγει P: βούλεσθαι ἂν λέγων G οἷς γὰρ βούλεται, ἂν λέγων a | fort πείθῃ 6 βούληται Pa: βούλοιτο G βούλεται Sylburgius. de modo cf p 77, 8. 10 | τὰ P: om Ga 8 hiatum indicaui cf p 77, 8 10 δὲ] δὴ h errore 11 αὐτοῦ Pa 12 ἐναντίου G 13 δὲ ⟨τίς⟩; conicias sed cf p 53, 14. 20 15 οὕτω καὶ ἐν G 18 τοῦτον τὸν τρόπον Ga | κακειν᾽ ἅττα P, a κακεῖνα· τὰ G 20 τὸ P: τὸν s | δοκεῖν G 22 ὡς ἐροῦντα suppleui cf infra p 59, 19 | ὑπερβάλλεσθαι Sylb

*Τούτων δὴ καὶ τὰ παραδείγματα λαβεῖν ἐκ τῶν βυβλίων. ληψόμεθα δὲ παρὰ Δημοσθένους, Θουκυδίδου, Ξενοφῶντος, Πλάτωνος, | Εὐριπίδου, τῆς κω-* 285
*μῳδίας, Ὁμήρου· ἀπὸ πασῶν ἰδεῶν τῆς ῥητορικῆς, συμβουλευτικῆς δικανικῆς πανηγυρικῆς.*

*Μεμνῆσθαι χρή, ὅτι τῇ μεθόδῳ [καὶ περὶ τῶν σχημάτων τῶν ἐναντία βουλομένων οἷς λέγουσιν ἀγωνιζόμενοι], ἥν τις πορεύηται, ὡς ἔφαμεν, δι' ἐναντιώσεων, μέγας κίνδυνος πρόσεστι τῷ μὴ φωραθῆναι ὑπὸ τῶν ἀκροωμένων ὅτι τεχνάζει, τῆς ἐναντιώσεως εἰς δόξαν ἐμπεσεῖν. εἰ γὰρ δὴ ἐλεγχθείη ἡ τέχνη, συμβήσεται φιλονεικοῦντας, ἃ προσποιεῖται λέγειν, συγχωρεῖν τῷ ῥήτορι, οὐχ ἃ βούλεται ταῦτα ψηφίζεσθαι. φράσομεν οὖν καὶ ὅπως τις ἂν λάθοι μεταχειριζόμενος τὸν δι' ἐναντιώσεων λόγον.*

5 *Δημοσθένης τοίνυν ὁ ῥήτωρ, ἵνα πρῶτον καὶ τὸ ὄνομα τοῦ σχήματος καὶ τὴν χρείαν δείξωμεν παρ' αὐτῷ | δεικνύντες, ἐν τῷ περὶ τοῦ στεφάνου διηγού-* 286
*μενος λόγον, ὃν συνεβούλευσεν διαθέσθαι πρὸς Θηβαίους, οὐχ ἁπλοῦν ἀλλά τινα τεχνικόν, ὧδέ πως λέγει καὶ ἐπὶ τῷ λόγῳ τὸ ὄνομα ἐπάγει τῆς τέχνης· ʽἐπειδὰν*

21 Demosthenes or XVIII 178 p 287, 22—288, 3

1 *δὴ* P: *δεῖ* s | *ἐκ*] conicias ⟨*ἔστιν*⟩ *ἐκ* sed uereor ne scriptorem ipsum corrigas 2 *βυβλίων* P: *βιβλίων* Ga 3 *πλάτωνος* post *κωμῳδίας* traicit G 6 *χρή* Pa: *δὲ χρή* G | *καὶ*—7 *ἀγωνιζόμενοι* seclusi ut ex margine interposita, nisi quis cum Schotto *περὶ κτἑ.* post *χρὴ* traicere malet 7 *ἀγωνιζομένοις* Pa 8 *ἥν*] *ἢ* P *εἴ* Ga | *πορεύοιτο* G 11 ante *εἰ* deesse uidetur et confirmatio superioris sententiae et altera propositio, etiam *τῷ φωραθῆναι ὅτι τεχνάζει* periculum gigni, sed lenissima mutatione restituitur sententia | *γὰρ διελεγχθείη* P *γὰρ διαλεχθείη* Ga 13 *ψηφίσασθαι* a | *φράσωμεν* P: corr a 14 *τί ἂν* P: corr Gs | *λάθοιτο* G² 15 *ἐναντιώσεως* Gs 18 exspectes *παρ' αὐτοῦ λαβόντες* | *δεικνύντι* Schottus | *τοῦ* om G 19 *λόγῳ* a

δὲ ἔλθωσιν οἱ πρέσβεις εἰς Θήβας, πῶς χρήσασθαι τῷ πράγματι παραινῶ; τούτῳ πάνυ μοι προσέχετε τὸν νοῦν. μὴ δεῖσθαι Θηβαίων μηδέν (αἰσχρὸς γὰρ ὁ καιρός), ἀλλ' ἐπαγγέλλεσθαι βοηθήσειν, ὡς ἐκείνων μὲν ὄντων ἐν τοῖς ἐσχάτοις, ἡμῶν δὲ ἄμεινον ἢ 'κεῖνοι καὶ τὸ μέλλον προορωμένων, ἵν' ἐὰν μὲν δέξωνται ταῦτα καὶ πεισθῶσιν ἡμῖν, καὶ ἃ βουλόμεθα ὦμεν διῳκημένοι καὶ μετὰ σχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν'. Ὁρᾷς καὶ τὸ ἔργον τῆς διοικήσεως, καὶ
287 τὸ ὄνομα ἐπι|φερόμενον τῷ ἔργῳ, τὸ 'σχῆμα'. ὁ αὐτὸς τοίνυν Δημοσθένης ἐν μὲν τῷ περὶ τῆς πρεσβείας, ⟨ἵνα⟩ ἀπὸ δικανικοῦ λόγου ἀρξώμεθα, ἄλλα προτείνων ἄλλα κατασκευάζει, δι' ὅλου τοῦ βυβλίου διοικούμενος διοίκησίν τινα τοιαύτην· κεφάλαια ἔστιν ἅ περ ἀσθενῆ ὄντα τῷ Δημοσθένει, ἐὰν ἐφ' αὑτῶν προτείνηται, ἐλέγχεται· ταῦτα ἵνα πιθανὰ ποιήσῃ, ἕτερα μὲν προτείνει, λαβὼν δὲ τὸν ἀκροατὴν προσέχοντα τοῖς προταθεῖσι συμπλέκει τὰς πίστεις τῶν ἀσθενῶν τοῖς προτεινομένοις. οἷον, ἵνα ὁ λόγος ἔχῃ παράδειγμα, ἔροιτ' ἂν εἰκότως ὁ Αἰσχίνης τὸν Δημοσθένην· Διὰ τί τῆς προτέρας πρεσβείας οὐ κατηγορεῖς; καί τοι τὰ πεπραγμένα πάντα ἐν τῇ προτέρᾳ πέπρακται (ὅ φησιν ὁ Αἰσχίνης ἐν τῇ ἀπολογίᾳ), ἡ δὲ δευτέρα ἀπαίτησιν ὅρκων εἶχεν

22 Aeschines or II 123 p 293

3 δεῖσθαι et 4 ἐπαγγέλλεσθαι Pa cum ΣFΦ: δεῖσθε et ἐπαγγέλλεσθε corrector Tauchn. 4 ὡς] ἐὰν κελεύωσιν, ὡς Demosthenes et infra p 90, 13 5 μὲν om ΣFΦ | ἢ κεῖνοι P ut ΣΦ: ἢ ἐκεῖνοι Ga 6 καὶ ante τὸ abest a Dem exemplis 8 σχήματος Pa cum Δ: προσχήματος cetera Dem exemplaria 11 παραπρεσβείας Schottus 12 ἵνα suppleui | ἀπὸ γὰρ G | ἀρξόμεθα Pa | ἀλλὰ γὰρ τείνων G 13 διόλου P | βιβλίου Pa 14 κεφάλαιά ἐστιν P 15 ἀφαυτῶν P ἀπ' αὐτῶν a 16 ταῦτα om G | μὲν om G 23 εἶχε a

μόνην. ἡ μὲν οὖν ἀληθὴς αἰτία τοῦ μὴ κατηγορεῖν
ἐκείνη· ἐπήνεσεν ὁ Δημοσθένης τὰ ἐν τῇ προτέρᾳ
πρεσβείᾳ πάντα πεπραγμένα, καὶ ψηφίσματα ἔγραψεν,
καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον τοὺς πρέσβεις. |
αὕτη μὲν οὖν ἡ ἀληθὴς αἰτία ἐστὶ τοῦ μὴ ἐγκαλεῖν 288
τῇ προτέρᾳ πρεσβείᾳ. ἀλλὰ μὴν αἰτίαν ἱκανὴν οὐδε-
μίαν ἔχει κατὰ τῆς ὑστέρας πρεσβείας· δεῖ οὖν αὐτὸν
ἐφάπτεσθαι καὶ τῆς προτέρας. κατηγορῶν οὖν ἅμα
τῆς προτέρας πρεσβείας οὐ κατηγορεῖ. δεῖ δὲ αὐτῷ
προφάσεως. τίς οὖν ἡ πρόφασις; φησὶν ἠγνοηκέναι
τὸν Αἰσχίνην πεπρακότα αὐτὸν ἐν τῇ προτέρᾳ πρε-
σβείᾳ. τοῦτο οὑτωσὶ μὲν πρὸς ἐρώτησιν τὴν παρ'
Αἰσχίνου ἐν παραιτήσεως σχήματι λεγόμενον ἀσθενὲς
καὶ γελοῖον ἐστίν. ἄλλο δὲ οὐδὲν ἔχων εἰπεῖν ὁ Δη-
μοσθένης, ὅπερ ἔφαμεν, ἑτέρου προφάσει τοῦτο συγ-
κατασκευάζει. φησὶ γὰρ ἀποδείξειν τὸν Αἰσχίνην αὐτὸν
ὑφ' αὐτοῦ ἐλεγχόμενον, ὅτι δῶρα εἴληφεν, καὶ διέξεισι
λόγους οὓς εἶπε πρότερον κατὰ Φιλίππου· εἶτα φησὶν
αὐτὸν πρότερον κατὰ Φιλίππου πολιτευσάμενον ὕστερον
μεταβεβλῆ|σθαι, οὐκ ἂν μεταβαλόντα, εἰ μὴ δώροις 289
πεισθεὶς τοῦτο ἐποίει. ταύτην τὴν ἀπόδειξιν ὑποθεὶς
συγκατασκευάζει τὸ ὅτι εἰκότως ἔλαθέν με δῶρα λαβὼν
ἐπὶ τῆς προτέρας πρεσβείας· ᾤμην γὰρ αὐτὸν χρηστὸν

3 cf Demosth or XIX 234 Aeschines or II 46. 53 8 ex Aeschinis or II 123 sublata

3 πάντα s: πάντα τὰ P | fort ψήφισμα | ἔγραψε a 4 πρέσ[β]εις cum litura P 5 ἐγκαλεῖν ἐν τῆι P, a: ἐν deleui 7 τῆς προτέρας Pa: uitium Sylburgius perspexit 11 αὐτὸν Pa: corr h 16 ante φησὶ lacunam nescio quam indicauit h 17 ὑφ' αὐτοῦ P: ὑφ' ἑαυτοῦ a | εἴληφε a 20 μεταβαλοῦντα s 22 ὅτι om G | ἔλαθέ a 23 προτέρας P: ἑτέρας a

Institut für Altertumskunde

εἶναι, τῷ πρότερον κατὰ Φιλίππου πολιτεύεσθαι. αὕτη μὲν ἡ συμπλοκὴ τοῦ ἕτερα συγκατασκευάζειν ἕτερα προτείνοντα.

Ποιεῖ δὲ αὐτὸ πῶς; ἀκούσωμεν τῆς λέξεως τοῦ 6
ῥήτορος· φησὶ γὰρ ὧδε· Βούλομαι δὲ πρὸ πάντων, ὧν μέλλω λέγειν, μνημονεύοντας ὑμῶν οἶδ᾽ ὅτι τοὺς πολλοὺς ὑπομνῆσαι, τίνα τάξιν αὑτὸν ἔταξεν Αἰσχίνης ἐν τῇ πολιτείᾳ τὸ πρῶτον, καὶ τίνας λόγους κατὰ τοῦ Φιλίππου δημηγορεῖν ᾤετο δεῖν· ἵν᾽ εἰδῆτε, ὅτι τοῖς ὑφ᾽ ἑαυτοῦ πεπραγμένοις καὶ δεδημηγορημένοις ἐν
290 ἀρχῇ μά|λιστα ἐξελεγχθήσεται δῶρα ἔχων. ἔστι τοίνυν ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον, ὡς τότε δημηγορῶν ἔφη, ἐπιβουλεύοντα τοῖς Ἕλλησιν καὶ διαφθείροντά τινας τῶν ἐν Ἀρκαδίᾳ προεστηκότων· καὶ ἔχων Ἴσχανδρον τὸν Νεοπτολέμου δευτεραγωνιστήν, προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ περὶ τούτων, καὶ πείσας ὑμᾶς πανταχοῦ πρέσβεις πέμψαι τοὺς συνάξοντας δεῦρο τοὺς βουλευσομένους περὶ τοῦ πρὸς Φίλιππον πολέμου· καὶ ἀπαγγέλλων μετὰ ταῦτα ἥκων ἐξ Ἀρκαδίας τοὺς καλοὺς ἐκείνους καὶ μακροὺς λόγους, ⟨οὓς⟩ ἐν τοῖς μυρίοις ἐν τῇ Μεγάλῃ πόλει πρὸς Ἱερώνυμον τὸν ὑπὲρ Φιλίππου λέγοντα ὑπὲρ ὑμῶν ἔφη δεδημηγορηκέναι· καὶ διεξιών, ἡλίκα τὴν Ἑλλάδα πᾶσαν, οὐχὶ τὰς ἰδίας ἀδικοῦσι μόνον πατρίδας οἱ δωροδοκοῦντες καὶ χρήματα λαμβάνοντες παρὰ Φιλίππου. ἐπειδὴ τοίνυν ταῦτα πολιτευομένου

5 Demosthenes or XIX 9—12 p 343, 26—344, 28

5 δὲ hic scriptor addit 7 τίνα P cum Σ: εἰς τίνα s cum ceteris Dem libris | ἀυτὸν P: corr s ἑαυτὸν Dem 8 τοῦ om G 13 ἕλλησι a 17 πανταχοῖ Σ 21 οὓς ex Dem restituit Schottus | ἐν τῇ Pa: ἐν Dem 23 ἡμῶν P: corr s

τούτου τότε καὶ τοῦτο τὸ δεῖγμα ἐξενηνοχότος περὶ
αὐτοῦ τοὺς περὶ τῆς εἰρήνης πρέσβεις πέμπειν ὡς
Φίλιππον ἐπεί|σθητε ὑπὸ Ἀριστοδήμου καὶ Νεοπτολέ- 291
μου καὶ τῶν ἄλλων τῶν ἐκεῖθεν ἀπαγγελλόντων οὐδ'
ὅ τι οὖν ὑγιές, γίνεται τῶν πρέσβεων τούτων εἷς καὶ
οὗτος, οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ὑμέτερα οὐδ'
ὡς τῶν πεπιστευκότων τῷ Φιλίππῳ, ἀλλ' ὡς τῶν φυ-
λαξόντων τοὺς ἄλλους. διὰ γὰρ τοὺς προειρημένους
λόγους καὶ τὴν πρὸς Φίλιππον ἀπέχθειαν ταύτην εἰ-
κότως περὶ αὐτοῦ πάντες εἴχετε τὴν δόξαν'. αὕτη μὲν
ἡ μέθοδος τοῦ συγκατασκευάσαι· ἤδη γὰρ τὸν δῆμον
συνεπεσπάσατο ὡς συνεξηπατημένον ἑαυτῷ ὁ Δημο-
σθένης. εἶτ' ἐπήγαγεν τῆς τέχνης τὸ δεινόν· 'προσελ-
θὼν τοίνυν ἐμοὶ μετὰ ταῦτα συνετάττετο κοινῇ πρε-
σβεύειν, καὶ ὅπως τὸν μιαρὸν καὶ λίαν ἀναιδῆ φυλάξο-
μεν ἀμφότεροι τὸν Φιλοκράτην, πολλὰ παρεκελεύσατο.
καὶ μέχρι τοῦ δεῦρο ἐπανελθεῖν ἀπὸ τῆς πρώτης πρε-
σβείας ἐμὲ γοῦν, ὦ ἄνδρες Ἀθηναῖοι, διεφθαρμένος καὶ
πεπρακὼς αὑτὸν ἐλάνθανεν'. ὡς θαυμαστή γε ἡ τέχνη.
πάντας αὐτοὺς ἐξηπατημένους ἀπέ|δειξεν. ἐπήγαγεν 292
δὲ εὐθὺς τὸ μὲν 'ὥςπερ ὑμεῖς ἐξηπάτησθε, κἀγώ'; διὰ
μέσου τὸ περὶ Φιλοκράτους εἰπὼν αὐτὸς ἐφ' αὑτὸν
ἤγαγεν τὴν αἰτίαν, ἁπλότητος προσχήματι κλέπτων

13 Demosthenes or XIX 13 p 345, 1—5

2 ἀυτοῦ P: corr s 9 πρὸς Pa cum FΦ: πρὸς τὸν ceteri Dem libri 11 τοῦ κατασκευάσαι a 13 ἐπήγαγε s 15 φυλάξομεν P: φυλάξωμεν a 18 et p 51, 2 ὦ (ἄν)δ(ρες) ἀθ(ηναῖοι) P compendio insolentiore sed certo: ὦ ἀθηναῖοι a 19 αὑτὸν ex ἀυτὸν corr P: ἑαυτὸν a 20 ἐπήγαγε a interrogat scriptor. Schottus interpolatis οὐκ ante εὐθὺς et ἀλλὰ ante διὰ consulebat sententiae 21 fort τὸ ὅμοιον | ἐξηπάτησθαι P ἐξηπατεῖσθαι a: corr G 22 ἐφαυτὸν P 23 ἤγαγε r | κλέπτων P: βλέπων Ga

τὴν πανουργίαν τῆς κατασκευῆς τῷ λέγειν 'ἐμὲ γοῦν, ὦ ἄνδρες Ἀθηναῖοι, διεφθαρμένος καὶ πεπρακὼς αὑτὸν ἐλάνθανεν', ἀλλὰ μὴ φάναι 'κἀμέ', ἵνα μὴ δοκῇ τὸ πᾶν ἐπιχείρημα οἰκείας διοικήσεως ἐξειργάσθαι. οὕτω μὲν ἕτερα προτείνων ἕτερα κατασκευάζει ὁ Δημοσθένης· καὶ ἑξῆς τὸ αὐτὸ ποιεῖ ἐν τῷ λόγῳ καὶ πάλιν ἑξῆς καὶ ἄχρι τέλους τοῦ παντὸς ἀγῶνος. τοῦτο μέν σοι δικανικῶν λόγων τὸ παράδειγμα [λόγων] ἐσχηματισμένων, ἕτερα προτεινόντων, ἕτερα κατασκευαζόντων.

Συμβουλευτικῶν δὲ πάλιν ὁ αὐτὸς Δημοσθένης ἐν 7
τῷ περὶ τῶν συμμοριῶν δι' ὅλου τὴν τοιαύτην τέχνην
ἐξεργάζεται. ἔχει δὲ οὕτως· οἱ μὲν Ἀθηναῖοι ὡρμή-
κασι μὲν πρὸς βασιλέα τῶν Περσῶν, τοιαῦτα τῶν
293 ῥητό|ρων συμβουλευόντων καὶ ἐπαιρόντων αὐτοὺς ἐκ
τοῦ ἐπαινεῖν τοὺς προγόνους καὶ μεμνῆσθαι τῶν πεπραγμένων πρὸς τοὺς βαρβάρους ἔργων, πρὸς δὲ τὸν Φίλιππον τὸν τῶν Μακεδόνων βασιλέα ὀκνοῦσι πολεμεῖν. ὁ δὲ Δημοσθένης αὐτὰ τὰ ἐναντία πρὸς μὲν τὸν βασιλέα πολεμεῖν αὐτοὺς οὐ βούλεται, πρὸς δὲ τὸν Φίλιππον βούλεται. ὁρᾷς δύο ὑποθέσεις ἐναντίας ἀλλήλαις; πῶς οὖν τοῦτο ποιεῖ; διπλῷ γὰρ τῷ σχήματι χρῆται. πρὸς μὲν τὸν βασιλέα οὔ φησι μὴ δεῖν πολεμεῖν, ἀλλὰ μηδέπω πολεμεῖν· εἰ γὰρ ἁπλῶς ἐκέλευε μὴ πολεμεῖν, οὐκ ἂν αὐτῷ προσεῖχον τὸν νοῦν, ὡρμηκότες πρὸς τὸν πόλεμον. ὃ δέ φησι μὲν πολεμεῖν δεῖν, ἐνδιδοὺς αὐτοῖς ὃ βούλονται· πρότερον δὲ ἀξιοῖ παρασκευάζεσθαι, ἵνα ἀσφαλέστερος καὶ δικαιό-

2 ἀυτὸν P 4 genetiuus ad ἐπιχείρημα refertur praedicatiue positum 8 λόγων inclusi 10 πάλιν αὐτὸς ὁ Pa: corr Gualterus Otto cf p 91, 2 11 τῶν om G 12 οἱ μὲν οὖν ἀθ. G 21 signum interrogationis ante πῶς testatur P 22 ὀύ φήσει sic P οὐ φήσει Ga: corr s 24 οὐ κἂν P

τερος ὁ πόλεμος γένοιτο, τέχνῃ τοῦτο ποιῶν. οἶδεν
γὰρ ὅτι ἡ ἀναβολὴ ἐκλύσει τὴν ὁρμήν. καὶ εὐθύς γε
μετὰ τὸ προοίμιον κλέπτων τὸ δοκεῖν συναγορεύειν
βασιλεῖ τί φησιν; ‘ἐγὼ νομίζω κοινὸν | ἐχθρὸν ἁπάν- 294
των τῶν ὄντων Ἑλλήνων εἶναι βασιλέα· οὐ μὴν διὰ
ταῦτα παραινέσαιμ’ ἂν μόνοις τῶν ἄλλων ὑμῖν πόλε-
μον πρὸς αὐτὸν αἵρεσθαι’. οὕτω μὲν ἐπέχει τὴν ὁρμήν,
⟨τῇ⟩ αὐτῇ τέχνῃ Θουκυδίδῃ χρώμενος. καὶ γὰρ παρὰ
τῷ Θουκυδίδῃ Ἀρχίδαμος, ὅν φησιν ὁ Θουκυδίδης
συνετὸν εἶναι καὶ σώφρονα, ἐπειδὴ ἑώρα τοὺς Λακε-
δαιμονίους καὶ τοὺς Πελοποννησίους ὡρμημένους πρὸς
τὸ πολεμεῖν τοῖς Ἀθηναίοις, οὐχὶ μὴ πολεμεῖν κελεύει
(ᾔδει γὰρ οὐ πεισομένους) ἀλλὰ μηδέπω τοῦτο ποιεῖν,
ἀλλὰ πρότερον παρασκευάζεσθαι. οὕτω μὲν γάρ, ὅ
περ ἔφαμεν, ἐμποδίζει τὴν ὁρμὴν αὐτῶν ὁ Δημοσθέ-
νης ὁμοίως τῷ Θουκυδίδῃ. διδάσκει δὲ προελθὼν τοῦ
λόγου τὸν τρόπον * * * ἧς παρασκευασθείσης εὐτρεπὴς
γίνεται κατὰ | Φιλίππου. καὶ οὕτως ἑκάτερος ὁ λόγος 295
τεχνικῶς περαίνεται τῷ Δημοσθένει, τῷ βασιλεῖ μὲν
μηδέπω πολεμεῖν, τῇ δὲ ἐπὶ βασιλέα παρασκευῇ ἔχειν
χρῆσθαι κατὰ Φιλίππου. οὕτω μὲν δι’ ὅλου τοῦ λόγου
τοῦ συμβουλευτικοῦ ἕτερα προτείνεται καὶ ἕτερα κατα-

4 Demosthenes or. XIV 3 p 178, 22—25 9 Thucydides I 79 12 idem I 80—85 16 Demosthenes XIV 14—28

1 οἶδε a 3 μετὰ] κατὰ h uitiose 4 τί φησὶν P: τι, φησίν s 5 ὄντων abest et a Demosthenis exemplis et infra p 91 13, del Schottus 6 ταῦτα Pa cum ΥF: τοῦτο reliqui Dem libri | ἄλλων] in mg ἑλλήνων addit G² 7 ἅιρεσθαι P αἱρεῖσθαι Σ: ἄρασθαι Ga cum plerisque Dem libris 8 τῇ αὐτῇ s: ἀυτῇ P 16 προελθὼν P: προελθεῖν Ga 17 λόγου] an στόλου? | hiatum indicaui: ἧς scil δυνάμεως ναυτικῆς τε καὶ πεζῆς | οὐ παρασκευασθέντος G | εὐτρεπὴς P: εὐπρεπὴς Ga 18 ὁ λόγος P: λόγος Ga 22 τοῦ post λόγου om h errore

σκευάζεται, καὶ ὑπόθεσις ὑποθέσει συμπλέκονται. ἔχεις δύο ταῦτα παραδείγματα ἀγώνων ἑτέρων προτεινομένων, ἑτέρων συγκατασκευαζομένων, τὸ μὲν δικανικοῦ εἴδους, τὸ δὲ συμβουλευτικοῦ.

Ἐπεὶ μέντοι συμβουλευτικῶν καὶ δικανικῶν ἐμνή- 8
σθημεν, λάβε καὶ παρὰ Πλάτωνος παραδείγματα ἀγώνων 6
πλειόνων συμπεπλεγμένων καὶ τρόπον τινὰ πάντων ⟨τῶν⟩ μερῶν τῆς ῥητορικῆς συναγομένων. ἡ Σωκράτους Ἀπολογία τὴν μὲν πρότασιν ἔχει, ὡς τὸ ἐπίγραμμα δηλοῖ, ἀπολογίαν, ἔστι δὲ καὶ Ἀθηναίων κατηγορία, εἰ τοιοῦτον ἄνδρα εἰς δίκην ὑπήγαγον. καὶ κέκρυπται τὸ πικρὸν τῆς κατηγορίας τῷ ἐπιεικεῖ τῆς ἀπολογίας· ἃ γὰρ ὑπὲρ αὑτοῦ ἀπολογεῖται, Ἀθηναίων
296 κα|τηγορεῖ. δύο μὲν αὗται συμπλοκαί. τρίτη δέ· ὁ λόγος ἐστὶ Σωκράτους ἐγκώμιον, καὶ τὸ ἐπαχθὲς τοῦ λόγου ἐπεσκίασται τῷ ἀναγκαίῳ τῆς ἀπολογίας· τρίτη αὕτη συμπλοκή. καὶ γεγόνασι δύο μὲν δικανικαὶ ὑποθέσεις συνημμέναι, ἡ ἀπολογία καὶ ἡ κατηγορία· μία δὲ ἐγκωμιαστική, ὁ ἔπαινος ὁ Σωκράτους. τετάρτη συμπλοκή, ἥ περ μεγίστη ὑπόθεσις τῷ Πλάτωνι, ἔχουσα συμβουλευτικῆς ἰδέας δύναμιν, φιλόσοφον δὲ τὴν θεωρίαν· ἔστι γὰρ τὸ βυβλίον παράγγελμα, ὁποῖον εἶναι δεῖ τὸν φιλόσοφον. τοῦτο, ὡς μὲν ἐν ῥητορικῇ, συμβουλευτικὴ ἰδέα· ὡς δ' ἐν φιλοσοφίᾳ, δόγμα παραδιδόμενον· τοιοῦτον γὰρ εἶναι τὸν φιλόσοφον, ὁποῖος ἐν τῇ Ἀπολογίᾳ φαίνεται Σωκράτης. ταύτην τὴν

1 ὑποθέσεις Pa | ὑποθέσει P: ὑποθέσεσι s | συμπλέκονται Pa excusari potest 2 ἀγώνων cf l 6 6 λάβε sic P 7 πάντων μερῶν Pa: corr G 10 ἀπολογία Pa: corr Sylburgius 11 εἰ] οἳ uel ὅτι Schottus 13 ἀυτοῦ P, a 14 δέ] δὲ ἐστὶν G omisso ἐστὶ sequente 19 alterum ὁ om G 22 βυβλίον P: βιβλίον Ga 23 συμβουλευτικῆι ἰδέα P: corr Gs 25 ὁποῖον G

κρᾶσιν τῶν τεττάρων ὑποθέσεων ζηλώσας ὁ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου τὴν μίμησιν ἐξήνεγκεν· καὶ γὰρ ἀπολογίαν ἔχει ὑπὲρ ὧν κατηγορεῖται, καὶ κατηγορίαν ἐλέγχοντος τοὺς ἠδικηκότας καὶ τῶν κακῶν αἰτίους, καὶ φανερῶς ἐγκώ|μιον δεικνύντος ἐφ' οἷς 297 ἄξιός ἐστι τοῦ στεφάνου, καὶ τὸ δόγμα ὡς ἐν λόγῳ δικανικῷ καὶ πολιτικῷ, ὁποῖον εἶναι ⟨δεῖ⟩ τὸν πολιτικὸν ἄνδρα καὶ σύμβουλον ἀγαθόν. λέγει γοῦν αὐτὸς ἐν τῷ λόγῳ σαφῶς· 'ταῦτα καὶ τοιαῦτα πράττειν, Αἰσχίνη, τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ'.

9 Ταῦτα μὲν δή σοι παρὰ Δημοσθένους καὶ Πλάτωνος. ἀλλὰ καὶ Θουκυδίδης δύο ὑποθέσεις συμπλέκει ἐν τῷ ἐπιγραφομένῳ Ἐπιταφίῳ· τῆς μὲν γὰρ ἐγκωμιαστικῆς ἰδέας ἐστὶν ὁ ἐπιτάφιος, συμπλέκεται δὲ ἰδέα συμβουλευτική. οὐ γὰρ μᾶλλον ἐπαινεῖ τοὺς τεθνεῶτας ἢ τοὺς ζῶντας ἐπὶ τὸν πόλεμον παρακαλεῖ. τοῦτο μέντοι ἀναγκαίως ποιεῖ· ὁ γὰρ λέγων ἐστὶ τὸν ἐπιτάφιον Περικλῆς, ἀνὴρ τοῦ πολέμου αἴτιος. ἔτι μέντοι τριῶν ὄντων κεφαλαίων τοῦ ἐπιταφίου, ἐπαίνου θρήνου παραμυθίας, τὸ ἓν τῶν κεφαλαίων ὑπερβαίνει, τὸν θρῆνον· οὐ γὰρ συνέφερεν τῷ συμβουλευτικῷ οὐδὲ τῇ προτροπῇ τὸ θρηνεῖν, ὥς φησιν αὐτὸς ὁ Θουκυδίδης λέγων ὧδε· 'διό περ καὶ τοὺς τῶνδε νῦν τοκέας, ὅσοι πάρεστε, | οὐκ ὀλοφύρομαι μᾶλλον ἢ 298

9 Demosthenes or XVIII 306 p 327, 16 23 Thucydides II 44

1 κράσιν Ps 2 ἐν τῆι sic P | ἐξήνεγκε Ga 3 ἀπολογίαν ex ἀπολοαν corr $P^1$ 6 καὶ τὸ] an καὶ ἔτι? 7 δεῖ suppleui cl p 53, 23, post ἀγαθὸν inseruit s 9 καὶ P cum ΣFΦ: καὶ τὰ G cum uolgatis Dem exemplis 10 δεῖ Pa: om s 15 ἰδέα συμβουλευτικῆι P: corr s 16 τεθνεῶτας ἢ τοὺς omissa supplet mg $P^2$ | τοὺς om G 21 συνέφερε Ga 22 τῇ τροπῇ G

παραμυθήσομαι'. ποιεῖ δὲ τοῦτο ἀναγκαίως, ἐπειδὴ ἀρχομένου τοῦ πολέμου τὸν λόγον ποιεῖται· ὡς εἰ ἐθρήνησεν τοὺς πρώτους ἀποθανόντας, ἀθύμους ἂν ἐποίησεν τοὺς μέλλοντας πολεμεῖν. αὕτη μὲν δὴ τῆς διπλῆς ὑποθέσεως ἡ χρεία. πῶς δὲ ἔμιξεν τὰς κατασκευάς, καὶ πῶς μίξας αὐτὸς ὁμολογεῖ, φέρε θεασώμεθα. ἡ γὰρ κρᾶσις ἐστὶν ἡ τέχνη τοῦ σχήματος ἐν τοῖς λόγοις. κεφάλαιόν ἐστι τοῦ ἐγκωμίου ὁ τοῦ γένους λόγος· οἱ οὖν προτρέποντες εἰς τοὺς πολέμους τὰ τῶν προγόνων ἔργα διεξιόντες παρορμῶσι τοὺς ἀκούοντας· οὕτως συνετέλεσεν ὁ ἔπαινος τοῦ γένους εἰς τὴν συμβουλήν. πάλιν αὖ κεφάλαιόν ἐστιν ἐν τοῖς ἐγκωμίοις ἡ παραβολή, τὸ παρεξετάζειν τοὺς ἐπαινουμένους ἑτέροις τοῖς εὐδοκιμοῦσιν. ἀλλὰ μὴν ἐν τοῖς συμβουλευτικοῖς λόγοις, ὅτι ῥᾴδιος ὁ πόλεμός ἐστιν, ἐκ τοῦ παραβαλεῖν τὰ τῶν οἰκείων τοῖς τῶν
299 ἐναντίων ἀποδείκνυται. χρώμενος οὖν τῷ τῆς | παραβολῆς λόγῳ καὶ τὸ ἐγκώμιον ὁμοῦ καὶ τὴν συμβουλὴν περαίνει. τοῦτο γὰρ ὑπέστη μὲν ἀποδείξειν ἀρχόμενος μὲν τοῦ λόγου ὑπισχνούμενος, ἐπὶ τέλει δὲ βεβαιούμενος, ὅπου καὶ ἐναλλάττει τὴν τάξιν τῶν κεφαλαίων καὶ δείκνυσιν, ὅτι πρεσβύτερον ἦν τῷ ῥήτορι τὸ τῆς συμβουλῆς τοῦ ἐγκωμιαστικοῦ λόγου. λέγει γὰρ ὧδε· 'ἀπὸ οἵας τε ἐπιτηδεύσεως ἤλθον ἐπ' αὐτά, καὶ τρό-

24 Thucydides II 36

3 ἐθρήνησε 4 ἐποίησε 5 ἔμιξε a 7 κράσις P 11 οὕτω Ga 13 ἐπαινουμένους P: ἐπαίνους Ga 18 ὁμοῦ om G 19 περαίνει P: συμπεραίνει G παρήνει a 19—20 ἀρχόμενος μὲν τοῦ λόγου ὑπισχνούμενος μὲν τοῦ λόγου P: ἀρχόμενος μὲν τοῦ λόγου G ἀρχόμενος τοῦ λόγου a: uerba μὲν τοῦ λόγου falso iterata deleui 20 ἐπὶ δὲ τέλει G 23 γὰρ PG²: δὲ G¹a 24 ἀπὸ Pa: ἀπὸ δὲ Thucydides | ἤλθομεν Thucydides

πων ἐξ ὧν μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι [δεῖν] αὐτά, καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων σύμφορον εἶναι ἐπακοῦσαι αὐτῶν'. ταῦτα μὲν ἐπ' ἀρχῇ· προϊόντος δὲ τοῦ λόγου ἀποδείξας καὶ κεράσας ἐπάγει λέγων· 'καὶ [εἰ] ἐμήκυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν | ἀγῶνα καὶ 300
οἷς τῶνδε μηδὲν ὑπάρχει, καὶ τὴν εὐλογίαν ἅμα ἐφ' οἷς νῦν λέγω φανερὰν σημείοις καθιστάς'. τὸ γὰρ 'ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτά' τῆς ἐγκωμιαστικῆς ἰδέας ἐστί· τὸ γὰρ κεφάλαιον ἐγκωμίου ⟨ἔπαινος⟩. τὸ δὲ 'καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων σύμφορον εἶναι ἐπακοῦσαι αὐτῶν' τῆς συμβουλευτικῆς ἰδέας ἐστίν· κυριώτατον γὰρ ἐν συμβουλῇ κεφάλαιον τὸ συμφέρον. καὶ 'διδασκαλίαν ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει' τῆς συμβουλῆς ἀπόδειξιν ἔχει. τὸ δὲ 'τὴν εὐλογίαν ἅμα ἐφ' οἷς νῦν λέγω φανερὰν σημείοις καθιστάς' τοῦ ἐγκωμίου δείκνυσι τὴν ἰσχύν· τὴν δὲ κρᾶσιν αὐτῶν τὸ 'ἅμα' δηλοῖ. ταῦτά σοι καὶ παρὰ Θουκυδίδου.

10 Ἀλλὰ καὶ Εὐριπίδης ὁ ποιητὴς ἐν ὅλῳ δράματι λόγον ἐσχηματισμένον περαίνει, ἐν τῇ Μελανίππῃ τῇ

6 Thucydides II 42

3 δεῖν et a Thuc alienum et infra u 11 omissum del Schottus 4 εἶναι αὐτῶν ἐπακοῦσαι Thuc 5 ὑπ' G 6 καὶ εἰ Pa: διὸ δὴ καὶ Thuc εἰ ex ἐ natum deleui 9 ὑπάρχει Pa: ὑπάρχει ὁμοίως Thucydidis libri 12 ἐστὶν a 13 ἐγκωμίου· τὸ δὲ καὶ PG ἐγκωμίου τόδε, καὶ s: suppleui 15 ἐστί· a 16 καὶ PG: μὴ a del Sylburgius 21 κράσιν P 22 fort ⟨τὰ⟩ παρὰ 23 ὁποιοτης P: corr Ga 24 παρῄνει a | ἐν om G[1]

σοφῇ. κἀκεῖ δὲ τὸ σχῆμα διπλοῦν, τὸ μὲν αὐτοῦ τοῦ
ποιητοῦ, τὸ δὲ τοῦ ὑποκειμένου προσώπου τῆς Μελανίπ-
301 πης. | συγγέγονεν Ἀναξαγόρᾳ ὁ Εὐριπίδης· δόγμα δὲ
ἦν Ἀναξαγόρου τὸ ‘ὁμοῦ πάντα χρήματα’. μετὰ ταῦτα
συγγενόμενος Σωκράτει καὶ κρείττονος λόγου μετα-
σχών, ἀξιώσας, ὡς ἐμοὶ δοκεῖ, καὶ τὸν Ἀναξαγόρου
λόγον μνήμης ἐν τοῖς δράμασιν, ἐξήγαγεν αὐτὸ τὸ
δόγμα ἐν τῇ Μελανίππῃ τῇ σοφῇ. ἡ γοῦν ἀρχὴ τοῦ
λόγου αὐτῷ αἰνίττεται τὴν πρὸς τὸν διδάσκαλον
εὔνοιαν· φησὶ γὰρ ἡ Μελανίππη·

Καὶ οὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' ἐμῆς μητρὸς πάρα.

ὁ μὲν Εὐριπίδου σχηματισμὸς οὗτος· ὁ δὲ τῆς Με-
λανίππης τίς; τὰ παιδία ἐξέθηκεν εἰς τὰ τοῦ πατρὸς
βουφόρβια· ὁ δὲ πατὴρ οἰόμενος εἶναι τοῦτο τέρας
γνώμην ποιεῖται κατακαῦσαι τὰ παιδία· ἡ δὲ σῶσαι
βουλομένη τὰ τέκνα, ὅτι μηδέν ἐστι τέρας, φιλοσοφεῖ.
302 καὶ οὕτως | τὴν αὐτῆς χρείαν διοικεῖται ἐν παραινέσεως
σχήματι φιλοσοφοῦσα.

Ἡ δέ γε κωμῳδία ὅτι πολιτεύεται ἐν τοῖς δράμασι 11
καὶ φιλοσοφεῖ, ἡ τῶν περὶ τὸν Κρατῖνον καὶ Ἀριστο-
φάνην καὶ Εὔπολιν, τί δεῖ καὶ λέγειν; ἡ γάρ τοι
κωμῳδία αὐτὴ τὸ γελοῖον προστησαμένη φιλοσοφεῖ.
Ξενοφῶν δὲ ὁ καλὸς ὡς ἐν τῇ Παιδείᾳ βουλόμενος

4 Anaxagoras fr 1 Schaubachii 11 Euripides fr 484, 1 N².

5 τῶ σωκράτει G 7 αὐτοῦ τὸ ci Sylburgius 8 ἡ γ' οὖν P 9 αὐτῆς ci Schottus | ἀ[ι]νίττεται cum ras P 10 μελανίππηι· P 13 τίς Pa nisi quod falso ad sequentia trahunt: ἥτις GHermannus ap Schottum p 155 ὅτι τις Valckenaerius diatrib. p 184[a] 16 τέρας] τὸ τέρασ Pa cf p 94, 14 17 οὕτω a | αὐτῆς P: αὐτὴν G ἀρχὴν a 19 sq λόγων ἐσχηματισμένων mentionem scriptor neglegenter omisit 23 ὡς Schottus: ὃς Pa

*τοὺς ἐκ τοῦ δήμου τῶν Περσῶν ὁμοσκεύους ποιῆσαι τοῖς ὁμοτίμοις, καὶ πάλιν βουλόμενος κοινὸν ἀγῶνα ἀρετῆς τοῖς ἄριστα στρατευσαμένοις προτιθέναι, τοῖς τε ὁμοτίμοις διαλεγόμενος ἐν Κύρου λόγῳ ὡς αὐτοῖς χαριζόμενος, καὶ τοῖς δημοτικοῖς ὡς ἐκείνων προνοούμενος ⟨σχηματίζει⟩ ἐν ἑκατέρῳ τῷ λόγῳ, παρίημι λέγειν. ἐν δὲ τῇ Ἀναβάσει ὑποπτεύουσι μὲν οἱ στρατιῶται, ὡς ἐπὶ βασιλέα ὁ στόλος ἐστί, καὶ οὐκ ἔτι ἕπεσθαι Κύρῳ βούλονται· ὁ δὲ Κλέαρχος ἐν τοῖς στρατιώταις δημηγορεῖ ὑπισχνούμενος μὲν ἕψεσθαι | τοῖς στρατιώταις πανταχόσε, ἐν δὲ τῷ λόγῳ κατα-* 303
*σκευάζων τὸ ἀναγκαῖον εἶναι μένειν, μιμούμενος τὸν Ὁμήρου Φοίνικα. καὶ γὰρ ἐκεῖνος ἐν ταῖς Λιταῖς προτείνεται τὴν ὑπόθεσιν τῶν λόγων τοῦ Ἀχιλλέως, ὡς οὐ δυνατὸν ⟨ὂν⟩ αὐτῷ μένειν, ἂν ἐκεῖνος ἀπίῃ, ἀλλὰ πάντως ἑψόμενος τῷ Ἀχιλλεῖ. τὰς δὲ αἰτίας λέγων δι᾿ ἃς οὐκ ἂν ἀπολειφθείη τοῦ Ἀχιλλέως, ὅτι χρὴ μένειν τὸν Ἀχιλλέα κατασκευάζει, τῷ μὲν δοκεῖν δεικνύς, καθ᾿ ἃς προφάσεις οὐ μενετέον αὐτῷ, ἔργῳ δὲ ἀπαιτῶν τὰς χάριτας, ἃς εἰς τὸν Ἀχιλλέα κατέθετο θρέψας καὶ παιδεύσας, Ἀγαμέμνονι δὲ χάριν φέρων τῷ λόγῳ. καὶ ὅτι ταῦτα διανοούμενος τὸ σχῆμα τῶν λόγων ἐποιήσατο, αὐτὸς Ἀχιλλεὺς ἐπεκδιδάσκει. ὅπερ Ὁμήρῳ ἔθος· καὶ ὅστις ἄλλος μετεχειρίσατο τὸ εἶδος*

1 Xenopho Cyrup. II 1, 9—19 2 idem ibid II 3, 2—16 4 idem ibid II 1, 11 5 idem ibid II 1, 15—18 9 idem Anabas. I 3, 3—6 13 Homerus *I* 434—523

2 *καινὸν* P: corr a 3 *τοῖς τε* P: *τοῖς δὲ* a 6 *σχηματίζει* inserui auctore Schotto 15 *ὂν* inserui, coniceram *οὐ δυνατὸς ὢν αὐτοῦ* | *αὐτῶι* P | *ἀπείῃ* Pa: corr Sylburgius 16 *ἑλόμενος* P: corr a 19 *αὐτῶι* P: corr Schottus

τοῦτο, παρ' Ὁμήρου μαθὼν τοῦτο ποιεῖ, τὸ ἐν ταῖς τῶν ἀποκρινομένων ῥήσεσι τῶν προειπόντων τὰς τέχνας διδάσκειν. λέγει τοίνυν ὁ Ἀχιλλεύς· |

304 Μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρείδῃ ἥρωϊ φέρων χάριν.

ὁρᾷς, ὡς τὴν τέχνην ὁ μαθητὴς τοῦ διδασκάλου ἀπεκάλυψεν δεικνὺς ὅτι συνῆκεν, ὡς πάντα εἰς χάριν Ἀγαμέμνονος λέγεται καὶ ἐπὶ τῷ τὸν θυμὸν μαλάξαι τοῦ Ἀχιλλέως. εἶτα ἐπειδὴ χάριτας αὐτῷ κατελογίσατο ὁ Φοῖνιξ, ἵνα μὴ δοκοίη ἀχάριστος εἶναι, καὶ αὐτὸς πλαγίως ἀπολύεται τὴν αἰτίαν·

ἶσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο τιμῆς.

Ταῦτα μὲν ⟨τὰ⟩ παραδείγματα ἕτερα προτείνοντος τοῦ ῥήτορος. ὑπολείπεται δὲ ἡμῖν ὁ λόγος ὁ περὶ τῶν τὰ ἐναντία λεγόντων οἷς βούλονται· ἐπειδὴ ⟨δὲ⟩ οὗτος ὁ λόγος τὸ τελεώτατον σχῆμά ἐστιν, πρότερον δείξωμεν παρὰ Ὁμήρῳ καὶ ⟨ἃ⟩ ἄλλα σχήματα ὑπεθέμεθα. ἦν δὲ τάδε· τὸ δοκεῖν τὰ αὐτὰ λέγοντα ἑτέραν ὑπόθεσιν περαίνειν, καὶ ⟨τὸ⟩ δοκεῖν ἐναντιούμενον * * * ὡς ἐν ἑτέρῳ
305 λόγῳ | τὰς τῶν ἐσχηματισμένων ἀγώνων κατασκευὰς ποιησόμενον ἀναβολῇ τὸ σχῆμα παραδοῦναι. τούτων

4 Homerus *I* 612 12 idem ibid 616

1 *μαθῶν* P 6 *ἀπεκάλυψε* a 10 *φοῖνιξ* cum hoc accentu P: uolgo *Φοίνιξ* | *δοκῇ* exspectatur | *εἶναι καὶ αὐτός, πλαγίως* distinguebatur: corr Kentenich 12 *ἥμισυ* prima littera praeter prosodiam euanida P 13 *μὲν τὰ* Tauchn: *μὲν* Pa sed cf p 51, 8. 60, 1. 62, 17 14 *τοῦ* om G fort ⟨*καὶ ἕτερα κατασκευάζοντος*⟩ *τοῦ* 15 *δὲ* inserui 16 *ἐστι* a | *δείξομεν* G[1] fortasse recte 17 *ἃ* inserui | *καὶ τὰ ἄλλα σχήματα ἃ* Schottus *καὶ ἄλλα σχήματα ὡς* G | *ὑπεθέμεθα* P: *ὑποθέμεθα* a 18 *τὸ* om G 19 *τὸ* inserui | ante *ὡς* hiare orationem Kentenichius uidit cf p 45, 20 sq 21 *ποιησάμενον* Pa cf supra p 45, 22 sq | *ἀναβολὴ* P

*τοίνυν τὰ παραδείγματα τίνα; ἐν τῷ β̄ τῆς Ἰλιάδος, ὅτε κατέχουσιν τὸ Ἑλληνικὸν ὅ τε Ὀδυσσεὺς καὶ Νέστωρ, δοκοῦσιν μὲν ἀμφότεροι εἰς τὴν αὐτὴν ὑπόθεσιν λέγειν οὐ μόνον γε ἀλλὰ καὶ τὰ αὐτὰ λέγειν·*

*ὥςτε γὰρ ἢ παῖδες νεαροί, χῆραί τε γυναῖκες*
*ἀλλήλοισιν ὀδύρονται οἶκον δὲ νέεσθαι·*

*ταῦτα Ὀδυσσεύς· ὁ δέ γε Νέστωρ·*

*ὢ πόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε*
*νηπιάχοις, οἷς οὔ τι μέλει πολεμήια ἔργα.*

*πάλιν Ὀδυσσεύς·*

*οὐ δέ τοι ἐκτελέουσιν ὑπόσχεσιν, ἥν περ ὑπέσταν,*
*ἐνθάδ' ἔτι στείχοντες ἀπ' Ἄργεος ἱπποβότοιο.*

*εἶτα ὁ Νέστωρ·*

*ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν.*

*καὶ πάλιν Ὀδυσσεὺς τὴν Κάλχαντος μαντείαν λέγει* 306
*καὶ τὸ τέρας τὸ περὶ τὸν δράκοντα καὶ τὰ τῆς στρουθοῦ τέκνα. ὁ δέ γε Νέστωρ·*

*φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα,*

*καὶ λέγει τὰ οὐράνια σημεῖα καὶ τὰς δεξιὰς ἀστραπάς. ὅθεν καὶ παρέσχετο τοῖς πολλοῖς ζήτησιν, πότερος ἀμείνων ῥήτωρ ἐν τοῖς λόγοις τούτοις, Ὀδυσσεὺς ἢ Νέστωρ· καὶ μαρτύρονταί γε τὸν Ὅμηρον ἑκάτεροι λέ-*

5 Homerus *Β* 289—290  8 ibid 337 sq  11 ibid 286 sq  14 ibid 340  15 ibid 301—329  18 ibid 350  19 ibid 351—353

1 *τίνα*] *τὰ* Pa om G | *β̄* P: *δευτέρῳ* a  2 *κατέχουσι* a item 3 *δοκοῦσι*  6 *οἶκον δὲ* P cf 80, 2 Lehrs quaest epic p 41: uolgo *οἰκόνδε*  7 *ταῦτα* P: *ταῦτα μὲν* a  8 *ὢ* ex *ὦ* corr P | *ἢ δὴ* P  12 *ἐπιστείχοντες* G  14 *μήδεα* altero accentu eraso P  18 *κατανευσαι* circumflexo eraso P  20 *παρέσχετο* Pa scil Homerus: *παρέσχητο* Sylburgius *παρέσχε* ci Radermacher | *ζήτησιν* P: *ζήτησις* a  21 *ῥήτωρ* P: *ὁ ῥήτωρ* a

γοντα, ὡς τὸν μὲν Ὀδυσσέα ἐπήνεσεν τὸ πλῆθος, τὸν δὲ Νέστορα ὁ Ἀγαμέμνων· οἳ μὲν

μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο,

ὃ δὲ εἰπών·

τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.

καὶ ἄλλην πολλὴν φλυαρίαν περὶ τὴν παραβολὴν τῶν λόγων φλυαροῦσιν. τὸ δὲ ἦν ἄρα τέχνη· τοσοῦτον
307 γὰρ | ἀπέχουσιν τοῦ ταὐτὰ λέγειν, ὥςτε οὐδ᾽ εἰς τὴν αὐτὴν ὑπόθεσιν λέγουσιν· σόφισμα δὲ τοῦτό ἐστι καὶ πάλαισμα τῶν ἀκουόντων. τί τοῦτο τὸ σόφισμα; ὁ μὲν Ὀδυσσεὺς κατασχεῖν βούλεται τοὺς Ἕλληνας ὡρμημένους ἀπιέναι· ὁ δὲ Νέστωρ κατεσχημένους ὑπὸ τοῦ Ὀδυσσέως καὶ μένοντας ἐκστρατεῦσαι βούλεται κατὰ γένη ἑκάστους ὑπὸ τῷ οἰκείῳ ἡγεμόνι. καὶ ἔστιν αὐτῷ ἡ τῶν λόγων ὑπόθεσις οὐχ ἥ περ τῷ Ὀδυσσεῖ· γελοῖος γὰρ ἂν ἦν πεπεισμένοις ἔτι διαλεγόμενος. ἀλλὰ τίς ἡ ὑπόθεσις τοῦ Νέστορος;

κρῖν᾽ ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον·
ὣς φρήτρη φρήτρηφιν ἀρήγει, φῦλα δὲ φύλοις

καὶ τὰ τούτοις ἐφεξῆς εἰρημένα. διὰ τοῦτο καὶ πάνυ ἀρέσκει τῷ Ἀγαμέμνονι ὁ λόγος ὁ Νέστορος· ὁ γὰρ Νέστωρ, ὃ μάλιστα βούλεται ὁ Ἀγαμέμνων, τοῦτο περαίνει. βούλεται δὲ ἐκστρατεῦσαι τοὺς Ἕλληνας· διὸ καὶ τὴν ἀπόπειραν πεποίηται·

ἀλλ᾽ ἄγετ᾽, αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν. |

3 Homerus *B* 335 5 ibid 372 18 ibid 362—363 25 ibid 72. 83

7 *φλυαροῦσι* ut 8 *ἀπέχουσι* 9 *λέγουσι* a 7 *τὸ δὲ* P: *τόδε* s 8 *ταυτὰ* sine coronide P 14 *γένη*] *πέντε* Pa 19 *ὣσ* sic P: *ὡς* uolgo | *ἀρήγει* Pa: *ἀρήγῃ* Homerus 21 *ὁ νέστορος λόγος* G

διὰ τοῦτο ἐπαινεῖ τὸν Νέστορα, βουλόμενος πάντας 308 τοὺς ἡγεμόνας καὶ τὸν δῆμον τῶν στρατιωτῶν ὁμοίως ὁμογνώμονας αὐτῷ γενέσθαι, λέγων·

τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.

ἔνθα δὴ καὶ παραμυθούμενος τοὺς Ἕλληνας ὑπὲρ Ἀχιλλέως ἀγανακτοῦντας, ὁμολογίαν ἤδη ποιεῖται τοῦ ἁμαρτήματος, ἐπάγων τάδε τὰ ἔπη·

καὶ γὰρ ἐγὼν Ἀχιλεύς τε μαχησάμεθ' εἵνεκα κούρης
ἀντιβίοις ἐπέεσσιν· ἐγὼ δ' ἦρχον χαλεπαίνων.
εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν, οὐκέτ' ἔπειτα
Τρωσὶν ἀνάβλησις κακοῦ ἔσσεται οὐδ' ἠβαιόν.

αὕτη οὖν ἡ τέχνη· ἐπειδὴ κατεσχημένους ὁρᾷ τοὺς Ἕλληνας ὑπὸ τοῦ Ὀδυσσέως, μέλλει δὲ ἕτερον ἐπάξειν λόγον, τὸν τοῦ πῶς δεῖ στρατεύεσθαι ἑκάστους, διὰ τῶν πεπεικότων ἤδη λόγων πορεύεται, ἵνα δεξαμένων τῶν ἀκροατῶν ἃ ἐπήνεσαν λάθῃ ἐπαγαγὼν τὴν ἰδίαν ὑπόθεσιν. τοῦτο μὲν τὸ παράδειγμα τοῦ τὰ αὐτὰ δοκοῦντα ἑτέρῳ λέγειν, ἕτερα ἀγωνίζεσθαι. |

12 Ὁ δὲ Διομήδης τί ποτε αὐτῷ βούλεται ἀθυμοῦντι 309 τῷ Ἀγαμέμνονι λοιδορούμενος ἀκαίρως, ὡς ἄν τις οἰηθείη, καὶ ἀσυμφώνως τῇ αὑτοῦ γνώμῃ καὶ ἀνακολούθως τῇ τοῦ προοιμίου θεραπείᾳ;

Ἀτρείδη, σοὶ πρῶτα μαχέσσομαι ἀφραδέοντι,
ἣ θέμις ἐστίν, ἄναξ, ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς.

4 Homerus *Β* 372   8 ibid 377—380   23 idem *Ι* 32—33

1 πάντας P: πάντα a   3 ὁμ[ο]γνώμονας cum ras P   8 μαχησάμεθ' P cum Aristarcho: μαχεσσάμεθ' Homeri exempla   14 fort τὸν ⟨περὶ⟩ τοῦ, nisi potius τοῦ delendum   15 fort ἵν' ἀποδεξαμένων   17 τὰ αὐτὰ Pa: τὰ h   18 λέγων a   19 ποτ' a | αὐτῶι Pa: corr Sylburgius   20 ὡς om s   21 αὐτοῦ Pa   23 μαχέσσομαι P ut infra p 73, 17: μαχήσομαι Gs μετέρχομαι a   24 ἡ P ἧ G ῆ a | ἀγορη· sic P

τὸ μὲν προοίμιον ἀνδρὸς πράου, τὴν μέλλουσαν παρρησίαν ὡς ἐπὶ συμφέροντι γενησομένην παραμυθουμένου· ἃ δὲ ἐπιφέρει·

ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσιν,
φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα. ταῦτα δὲ πάντα
ἴσασ' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.
310 σοὶ δὲ διάνδιχ' ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω.
σκῆπτρον μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων·
ἀλκὴν δ' οὔ τοι δῶκεν, ὅ τοι κράτος ἐστὶ μέγιστον.

πῶς οὖν ταῦτα ἂν ἀλλήλοις συνᾴδοι τὸ ἀτυχοῦντι μνησικακεῖν τῷ Ἀγαμέμνονι τὸν Διομήδην, καὶ ⟨τὸ⟩ ὅτε μὲν ὠνείδισε, πράως ἐνεγκεῖν καὶ τῷ χαλεπαίνοντι Σθενέλῳ ἐπιτιμῆσαι

Τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ·
οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι, ποιμένι λαῶν·

ἐνταῦθα δὲ ἀπομνημονεύειν; εἰ γάρ τις φαίη διὰ τὸ ἠριστευκέναι τὸν Διομήδην ταῦτα ποιεῖν, ἀποφαίνει τὸν ἄνδρα ἀπαίδευτον, οὐ μετρίως τῇ εὐτυχίᾳ χρώμενον. ἀλλὰ τί ταῦτ' ἐστίν; αὐτὴ ἡ κατηγορία Ἀγαμέμνονος μεγίστη παρὰ τοῦ Διομήδους τῷ βασιλεῖ συνηγορία ἐστί. βουλόμενος γὰρ αὐτῷ βοηθῆσαι καὶ
311 κατασχεῖν τοὺς Ἕλληνας, ἐν | προσποιήσει τῆς πρὸς αὐτὸν ὀργῆς καὶ παρρησίας ἀναμένειν παραινεῖ, καὶ ὡς ἀγανακτῶν, εἰ οἴεται ὁ Ἀγαμέμνων τοὺς Ἕλληνας

4 Homerus Ι 34—39 14 idem Δ 412—413

1 τὸ μὲν γὰρ πρ. G 4 δαναοῖσι a 6 ἠ μὲν et ἠ δὲ disiuncta P 8 σκῆπτρον P: σκήπτρῳ G s ut p 73, 23 9 ὅ τοι P: ὅ γε G ὅ τε s ut p 74, 1 legitur 10 συνάιδοιτο· ἀτυχοῦντι P, a 11 τὸ suppleui 14 τεττάσι ω πῆι sic P 18 ἀτυχίᾳ a 19 ταῦτά ἐστιν a 21 βοηθῆσαι καὶ om G βοηθῆσαι om a 23 μένειν G

πεισθήσεσθαι ἀποπλεῖν, οὕτω πρὸς αὐτὸν παρρησιάζεται, ἐπιφέρων ταῖς λοιδορίαις τὴν ἔντεχνον ὑπόθεσιν·

δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;

καὶ ὅσα ἑξῆς ἐπιλέγει τὸν Ἀγαμέμνονα κελεύων, εἰ βούλεται, ἀποπλεῖν, τοὺς δὲ Ἕλληνας οὐκ ⟨ἂν⟩ ἀνασχέσθαι ἀπελθεῖν φάσκων· ἐπὶ τέλει δὲ νεανικῶς πάνυ ἐπαπειλῶν·

εἰ δὲ καὶ αὐτοί,
φευγόντων. . . .
νῶι δ', ἐγὼ Σθένελός τε, μαχησόμεθ', εἰς ὅ κε τέκμωρ
Ἰλίου εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλουθμεν.

τοῦτό σοι τὸ παράδειγμα τοῦ κατηγοροῦντα συναγορεύειν, ἐσχηματισμένῳ τῷ λόγῳ χρώμενον. |

14 ὁ δὲ Νέστωρ διαδεξάμενος τὸν λόγον παρὰ τοῦ 312
Διομήδους τί ποιεῖ, θεασώμεθα καὶ τῶν λόγων τὴν τέχνην ἐξετάσωμεν, πρότερον τὴν ἀτοπίαν, ἂν ἁπλῶς ᾖ λεγόμενος ὁ λόγος, καταμαθόντες. ἐπαινεῖ μὲν γὰρ τὸν Διομήδην τῶν εἰρημένων· ἐπαινέσας δὲ οὔ φησι πάντα ἐκτελέσαι τὸν λόγον καὶ τοῦ μὴ ἐκτελέσαι τὰ ῥητέα τὴν ἡλικίαν αἰτιᾶται. ὑπισχνεῖται δὲ αὐτὸς ἐρεῖν καὶ πάντα διεξελεύσεσθαι· εἶτα μακρὰ προοιμιασάμενος καὶ ἐπανατεινάμενος λόγους τινὰς θαυμαστοὺς ὡς ἐρῶν, τοὺς μὲν φύλακας ἐκπέμπει ἐπὶ τὴν φυλακήν, τῷ δὲ Ἀγαμέμνονι συμβουλεύει δαῖτα παρασκευάζειν τοῖς γέρουσι, κἀκεῖ φησὶν πολλῶν λεγόντων τὰ παρὰ τοῦ

3 Homerus *I* 40—41 9 ibid 46 11 ibid 48—49

4 τεμμεναι P 6 ἂν restitui 8 ἐπ' ἀπειλῶν P 10 uersum ex Homero explet G 13 σοι P: τοι Ga 19 οὐ φησὶ P 20 τὰ ῥητέα] fuit qui τοῦ ῥήτορος coniceret 26 φησι a

ἄριστα λέγοντος αἱρήσεσθαι τὸν Ἀγαμέμνονα. ταῦτα οὑτωσὶ μὲν ἀκοῦσαι ἄτοπά ἐστιν. ἀλλ' εἰδέναι χρή, ὅτι Νέστωρ καὶ αὐτὸς σχηματίζει, καὶ δέχεται μὲν τὰ παρὰ τοῦ Διομήδους εἰρημένα, οὐχ ᾗ γνώμῃ ⟨δὲ⟩ Διομήδης εἶπεν, ἀλλ' ὡς αὐτῷ συμφέρει πρὸς τὸν λόγον. ὁ γὰρ Διομήδης χαριζόμενος τῷ Ἀγαμέμνονι ἐπέπληξεν αὐτῷ· ὃ δὲ ἐπῄνεσεν αὐτοῦ τὴν παρρησίαν, ὡς καλῶς αὐτὸν
313 λοιδορησά|μενον τῷ Ἀγαμέμνονι. τί οὖν τοῦτο βούλεται; παρασκευάσαι βούλεται τὸν Ἀγαμέμνονα ἱκετεῦσαι τὸν Ἀχιλλέα, καὶ διὰ τοῦτο ἀποδέχεται τοῦ νεανίσκου τὴν εἰς τὸν βασιλέα παρρησίαν. 'ἀτὰρ οὐ τέλος ἵκεο μύθων' φησίν, 'ἦ μὴν καὶ νέος ἐσσί'...,

ἀτὰρ πεπνυμένα βάζεις
Ἀργείων βασιλῆας....
ἀλλ' ἄγ' ἐγών, ὡς σεῖο γεραίτερος εὔχομαι εἶναι,
ἐξείπω καὶ πάντα διίξομαι.

τήρει καὶ τὰ ὀνόματα· τὸ γὰρ 'ἐξείπω' ὥςπερ ἀπορρήτου λόγου ἐξαγόρευσιν ἔχει.

οὐδέ κε τίς μοι
μῦθον ἀτιμήσει, οὐδὲ κρείων Ἀγαμέμνων.

εἶτα πάλιν ἐπάγει τὸ σχῆμα ὡς διὰ κοινοῦ δόγματος καθαπτόμενος τοῦ Ἀγαμέμνονος· |

314 ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

11 Homerus *I* 56—57 13 ibid 58—59 15 ibid 60—61 19 ibid 61—62 23 ibid 63—64

2 ἀκουσαι iterauerat P[1] 4 δὲ restitui 9 παρασκευάσαι βούλεται om G[1] παρασκευάζεται· mg G[2] 12 et 14 uersus ex Homero supplet G 15 ὡσ Pa: ὅς G Sylburgius cum libris Homeri 17 τηρεῖ r errore

*εἶτα δείξας τῷ Ἀγαμέμνονι τὴν ὁρμὴν τοῦ λόγου τὸ μὲν ἀποκαλύπτειν τὸν λόγον καὶ σαφῶς ἐλέγχειν αὐτὸν παρίησιν, ἀποπέμπεται δὲ τοὺς νεωτέρους, ὡς ἂν μὴ αἰσχύνοιτο ὁ Ἀγαμέμνων ἐκείνων ἀκουόντων ἐλεγχόμενος·*

*ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ,*
*δόρπα τ' ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ ἕκαστοι*
*λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.*

*εἶτα ἀποπέμψας τοὺς νέους ἰδίαν σύνοδον πρὸς τὴν παρρησίαν αὐτῷ μηχανᾶται ἐπιφέρων·*

*κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα,*
*Ἀτρείδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτερός ἐσσι·*
*δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι, οὔ τοι ἀεικές....*
*πολλῶν δ' ἀγρομένων τῷ πείσεαι, ὅς κεν ἀρίστην*
*βουλὴν βουλεύσῃ.* |

*εἶτα ἀναβαλλόμενος, ὡς εἰς τοῦτο ἐρῶν πάλιν ὑπαινίττεται* 315 *καὶ τὰς ἀνάγκας τοῦ ἱκετεῦσαι δεῖν τὸν Ἀχιλλέα ἐπάγει βιαίως πρὸς τὸν Ἀγαμέμνονα λέγων·*

*μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς*
*ἐσθλῆς καὶ πυκινῆς, ὅτι δήιοι ἐγγύθι νηῶν*
*καίουσιν πυρὰ πολλά. τίς ἂν τάδε γηθήσειε;*

6 Homerus *I* 65—67 11 ibid 68—70 14 ibid 74 19 ibid 75—77

4 ὁ om G 10 ἀυτῶι Pa: corr Sylb | ἐπιφέρων P: φέρων Ga 12 βασιλεύτερός ἐσσι cum hac prosodia P βασιλεύτατος exempla Homeri 13 οὔ τοι P: οὔ τι s 16 εἰς τοῦτο tempus, non argumentum ut p 79, 21 indicat 18 καὶ ἐπάγει G dubito an hoc uerbum ex p 67, 1 inrepserit, praesertim cum conl p 67, 20 probabile sit u 16 ἐρεῖν scriptum fuisse omissa particula ὡς 20 ὅτι—νηῶν in fenestra suppleuit antiqua manu P 21 καίουσι a

καὶ ἐπάγει τὴν ἀνάγκην τῆς ἱκετείας, ὡς οὐ δι' ἀναβολῆς δέον αὐτὴν ἀλλ' ἤδη γενέσθαι·

νὺξ δ' ⟨ἤδ'⟩ ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει.

ταῦτα εἰπὼν ἐν κοινῷ, ἐπειδὴ καθ' αὑτοὺς οἱ γέροντες γίνονται, ὥςπερ ἀποδείξας καὶ οὐ δεόμενος μακρῶν λόγων ἀποκαλύπτει τὸ σχῆμα φανερῶς λέγων·

οὐ γάρ τις νόον ἄλλον ἀμείνονα τοῦδε νοήσει,
οἷον ἐγὼ νοέω ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν
ἐξέτι τοῦ, ὅτε διογενεῦς Βρισηίδα κούρην |
316 χωομένου Ἀχιλῆος ἔβης κλισίηθεν ἀπούρας,
οὔ τι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε
πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
εἴξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
ἠτίμησας· ἑλὼν γὰρ ἔχεις γέρας.

εἶτα ἐπάγει·

ἀλλ' ἔτι καὶ νῦν
φρασσώμεσθ', ὥς κέν μιν ἀρεσσάμενοι πεπίθοιμεν
δώροισίν τ' ἀγανοῖσιν ἔπεσσί τε μειλιχίοισιν.

καὶ πείθεται τούτοις ὁ Ἀγαμέμνων. οὗτός σοι ὁ τρόπος τοῦ καὶ ὡς ἀναβαλλόμενον ἐρεῖν ἤδη λέγειν τὸν ἐσχηματισμένον λόγον.

Ἐπανέλθωμεν δὲ ἐπὶ τὸν ὑπόλοιπον λόγον τὸν περὶ 15 τῶν τὰ ἐναντία λεγόντων καὶ τὰ ἐναντία βουλομένων οἷς λέγουσιν. τούτου τοίνυν τοῦ λόγου παράδειγμα ὁ

3 Homerus *I* 78 7 ibid 104—111 16 ibid 111—113

1 *οὐ δι' ἀναβολῆς*] *οὐδ' εἰς ἀναβολὰς* Pa 3 *δ' ἠὲ* P: corr Gs 4 *κοινῶι· ἐπειδὰν δὲ καθαυτοὺς* P, a fort latet *ἐπειδὴ ὧδε* 5 *γένωνται* Pa 7 *ἄλλον* P *ἄλλος* s cum libris plerisque Homeri 9 *διογενεῦς* Pa ut est in scholiis Hom: *διογενές* s, uolgo 11 *νό[ο]ν* cum ras P 17 *φρασσώμεσθ'* P: *φραζώμεσθ'* Gs ut Hom | *ἀρεσσάμε* extremo uersu *νοι* add ant P[2] | *πεπίθωμεν* Aristarchus 22 *δὲ* P: om Ga 24 *λέγουσι* s

τοῦ Ὁμήρου ἐστὶν Ἀγαμέμνων, ἐν τῇ ἀποπείρᾳ τῶν
Ἑλλήνων | τὸ εἶδος τῶν λόγων ἡμῖν παραδιδούς. καὶ 317
πρῶτον μὲν προτείνας τὴν ὑπόθεσιν

ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν·
πρῶτα δ' ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστί,
καὶ φεύγειν σὺν νηυσὶ πολυκλήισι κελεύσω·
ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν

ἐπάγει τὴν τέχνην ἐν τῇ δημηγορίᾳ ἀσθενεῖς προτάσεις
προτείνων καὶ λαβὰς ἀντιλογίας διδοὺς τῷ βουλομένῳ
ἐναντιοῦσθαι καὶ στρεφόμενα λέγων. ἴδωμεν δὲ αὐτὰ
τὰ ἔπη·

Ζεύς με μέγας Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ,
σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι.

ἔχοι τις ἂν ἀντειπεῖν πρὸς τὸν Ἀγαμέμνονα· εἰ τοίνυν
ὑπέ|σχετο καὶ κατένευσεν, ὅ πέρ ἐστιν μέγιστον σημεῖον 318
τοῦ ἀψευδεῖν τὸν Δία, ὡς αὐτὸς ὁ Ζεὺς ὁ Ὁμήρου λέγει·

εἰ δ' ἄγε τοι κεφαλῇ κατανεύσομαι, ὄφρα πεποίθῃς·
τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον
τέκμωρ. οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν
οὐδ' ἀτελεύτητον, ὅ τί κεν κεφαλῇ κατανεύσω·

εἰ τοίνυν ὁ Ζεὺς ὑπέσχετό σοι καὶ κατένευσεν, πῶς
ἀξιοῖς ἀποπλεῖν; εἶτα πάλιν ἐπάγει·

νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν

4 Homerus *Β* 72—75  12 ibid 111—113  18 *Α* 524—527
24 *Β* 114—115

2 παραδιδούς P: παραδούς Ga  5 ἢ] εἰ P ἤ Ga
8 ἐπάγει δὲ τὴν G  9 βουλευομένω G  12 με om a | μέγα
libri Homeri  15 ἂν om Ga  16 ὅπερ ἐστὶ a  18 πεποίθς P
πεποίθεις G  21 ὅττι Pa ὅτι G γ' ὅτι s  25 ἄργος P

πάλιν ἀντιλαβὴν διδοὺς ἐν τῷ ‘δυσκλέα’· δικαίως γὰρ ἄν τις ἀντείποι πρὸς αὐτόν, ὅτι οὐ χρὴ αἰσχρῶς ἀπαλλάττεσθαι. εἶτα ἑξῆς λέγει·

οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι·

⟨τήρει⟩ τὴν φωνὴν αὐτήν, ὅτι στοχασμὸν ἔχει, οὐκ ἀπόφασιν σαφῆ. εἶτα ἐφεξῆς· |

319 ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ’ ἔτι καὶ λύσει·

πάλιν εἴποι τις ἂν πρὸς αὐτόν· εἰ τοίνυν κατέλυσε πόλεις ⟨πολλὰς⟩ καὶ καταλύσει, πιστευτέον τῷ Διὶ καὶ μενετέον. τὸ δὲ ἐφεξῆς θαυμασίως στρεφόμενόν ἐστιν, ᾧ χρῆται καὶ ὁ ἀντιλέγων·

αἰσχρὸν γὰρ τόδε γ’ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
μὰψ οὕτω τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν
ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι.

αὐτὸ γὰρ τοῦτο τὸ αἰσχρὸν ὁ μένειν ἀξιῶν προτείνει, καὶ ταῦτα αὐτὰ Ὀδυσσεὺς λέγει. τὸ δὲ τέλος τῶν λόγων ἰσχυρῶς ἐναντία βουλομένου ἐστὶν οἷς λέγει·

ἀλλ’ ἄγεθ’, ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες,
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.

τὸ γὰρ αἰσχρὸν τοῦ ὀνόματος κατέχει μᾶλλον ἢ ἀποπέμπει τοὺς Ἕλληνας. τούτῳ γέ τοι τῷ ὀνόματι καὶ |
320 ἡ Ἥρα πρὸς τὴν Ἀθηνᾶν χρῆται, τούτῳ ἡ Ἀθηνᾶ
πρὸς τὸν Ὀδυσσέα, τούτῳ ⟨ὁ⟩ Ὀδυσσεὺς πρὸς τὸ πλῆ-

4 Homerus *Β* 116 7 ibid 117 13 ibid 119—121 19 ibid 139—140 23 Iuno *Β* 159 Minerua *Β* 175 24 de Vlixe errat memor fortasse uersuum *Β* 285—290. 298

4 εἶναι P: om a 5 τήρει suppleui cf p 65, 17 8 uersum ex Homero supplet G 10 πολλὰς suppleui | καὶ ante καταλύσει om a 13 τὸ δέγεστι P 19 ὦσ P 23 ἡ ἥρα P: ἥρα a 24 ὁ suppleuit Lietzmannus

θος, καὶ ὁ Ἀγαμέμνων δὲ πρὸς τὸν Ἀχιλλέα τούτῳ κέχρηται, καὶ ὅλως Ὅμηρος πανταχοῦ τὸ τῆς φυγῆς ὄνομα ἐπ' αἰσχροῦ καὶ δειλίας τάττει. οὕτω μὲν δὴ καὶ ἐνδόσιμα καὶ εὐδιάλυτα προτείνει, καὶ στρεφόμενα καὶ ἐναντία λέγει.

16 Λοιπὸς δὲ ἡμῖν ἐστι λόγος, τοῦ λανθάνειν ἡ τέχνη. τίς οὖν ἡ τέχνη; ἡ τοῦ πάθους προσθήκη. ὡς γὰρ σχετλιάζων τοὺς λόγους ποιεῖται, καὶ ἤρξατο ἀπὸ τοῦ μέμφεσθαι τὸν Δία καὶ βλασφημεῖν εἰς τὸν θεόν, οὕτως ἔκλεψεν τὸν ἀκροατήν. οἱ γὰρ ἀκούοντες οἴονται αὐτὸν ὑπὸ ἀκρασίας οὐκ ἀκριβεῖ λόγῳ χρώμενον ἀλλὰ πάθει ταῦτα διεξιέναι. αὕτη καὶ τοῦ σχηματίζοντα τὸν σχηματισμὸν τοῦτον λαθεῖν ἡ μέθοδος.

Ἔχεις οὖν συμπλοκὴν πίστεων, ἥ περ μεγίστη σχημάτων μέθοδος· ἅ περ ἂν εἴπες εἰς ἁπλῆν ὑπόθεσιν, τὰ αὐτὰ λέγοντα ἐπὶ τῶν πλα|γίων λόγων τὸ σχῆμα 321 περαίνειν· συγκατασκευάζοντα τὸν οἰκεῖον ἀγῶνα τῷ κοινῷ, ὡς ἔμαθες παρὰ Δημοσθένους, παρὰ Θουκυδίδου, παρὰ Πλάτωνος· εὐδιάλυτα λέγειν· στρεφομένοις χρῆσθαι λόγοις ἐν προσποιήσει πάθους. καὶ ὅλως εἰδέναι χρή, ὅτι τὰ σχήματα οὐχὶ προσκρούματά ἐστιν ⟨ἐν⟩ ὀνομάτων ἀμφιβολίαις λεγόμενα, ἀλλὰ ἀγῶνες ὅλοι τέχνῃ τῆς συμπλοκῆς διοικούμενοι. ἡ μὲν γὰρ

1 Agamemno *Α* 173

1 δὲ P: om a 3 δειλείας a 7 τίς P: τί s | τοῦ ἤθους Pa cf u 11 | fort προθήκη (i e πρόσχημα) ut infra προβολή p 78, 23 11 fort ἀκρισίας 12 καὶ τοῦ P: καὶ τὸν s 13 τοῦτον τοῦ λαθεῖν Pa: corr G 14 ἔχεις P: ἔχει a | πίστεως a | ἥ περ Gs: ὅπερ P 15 μέθοδος P: μέγεθος Ga 17 fort συγκατασκευάζειν 22 ἐν inserui | ἀμφιβολίαισ P: ἀμφιβολίαι s 23 διοικουμένης Pa: corr Schottus

*διαίρεσις ἁπλῆ τῶν σχημάτων, ἡ δὲ κατασκευὴ τῶν κεφαλαίων ἑκάστων ὡς δι' ἁπλῶν πορευομένοις τοὺς πλαγίους περαίνει λόγους.*

## IX

### *Περὶ ἐσχηματισμένων β̄*

*Τολμῶσί τινες λέγειν, ὅτι οὐκ ἔστιν ἐσχηματισμένη
ἰδέα λόγων. δεῖ γὰρ ἁπλῶς λέγειν ἢ μὴ λέγειν. καὶ
322 γὰρ οὐδὲν πλέον τοῦ καθ' ὑπόνοιαν λέγειν. | εἰ γὰρ
συνίησιν ὁ ἀκούων, ἐξ ἴσου καθέστηκεν τῷ φανερῶς
ἀκούοντι· εἰ μὴ συνίησι, πλέον οὐδὲν τῷ λέγοντι.
ἡμεῖς δὲ φαμέν, ὅτι τοσοῦτον ἀπέχει ὀρθῶς λέγειν ὁ
λέγων μὴ εἶναι ἐσχηματισμένους λόγους, ὥςτε τοὐναντίον
οὐδεὶς λόγος ἀσχημάτιστος οὐδὲ ἁπλοῦς λόγος
οὐδείς. καὶ δὴ ἀπὸ τῶν συντρόφων καὶ συνήθων
ἀρχώμεθα. τὸ προσαγορεύειν ἄνευ σχήματος οὐ γίνεται·
ὃ μὲν φιλοφρόνως προσαγορεύει, ὃ δὲ αἰδημόνως, ὃ δὲ
σκώπτων, ὃ δὲ ἱλαρῶς, ὃ δὲ ὡς θαυμάζων. αἱ κλήσεις
εἰς ἴδια δεῖπνα σχηματισμοῦ δέονται· οὐ γὰρ πάντας
ὁμοίως τις καλεῖ, ἀλλὰ ἑκάστῳ τὴν πρέπουσαν κλῆσιν
προστίθησιν. αἱ τῶν δανεισμάτων ἀπαιτήσεις οὐ πρὸς
πάντας ὅμοιαι, ἀλλ' εὐπρεπείας δέονται καὶ διοικήσεως·
καὶ αἳ μέν εἰσι θρασύτεραι, αἳ δὲ μετριώτεραι, αἳ δὲ
323 ἄλλης προφάσεως δέον|ται. ἵνα βραχέως εἴπω, ὅλον
τὸ τῆς εἰρωνείας σχῆμα ἐσχηματισμένου λόγου σημεῖόν ἐστι.*

1 *αἵρεσις* Pa: *εὕρεσις* Schottus 2 *πορευομένησ* P: *πορευομένη* Ga 5 *B̄*: P *δεύτερον* Ga 8 *λέγει* Pa: cum apographo Colbertino corr Schottus 9 *καθέστηκε* a 10 *εἰ δὲ μὴ* G 14 *συνηθῶν* s 18 *ἴδια*] fort *τὰ* 23 *ὅλον*] *οἷον* Pa

2 *Δείξομεν δὲ καὶ ἀγῶνας ὅλους ἐσχηματισμένους καὶ λόγους δημηγορικοὺς [ἐσχηματισμένους] καὶ πανηγυρικῆς ἰδέας, καὶ ἀποφανοῦμεν τῶν σχημάτων τὰ εἴδη. ἔστιν δὲ ταῦτα· ἤτοι λέγει μὲν ⟨ἃ⟩ βούλεται, εὐπρεπῶς δὲ λέγει· ἢ ἕτερα προτείνων ἕτερα διοικεῖται· ἢ τὰ ἐναντία προτείνων τὰ ἐναντία διοικεῖται. ⟨ποῦ⟩ τούτων τὰ παραδείγματα καὶ ἡ διδασκαλία; Ὅμηρος πάντα παραδίδωσι.*

3 *Τὸ λέγοντα ζητεῖν εὐπρεπῶς λέγειν δείκνυσιν ἐπὶ τῆς Ἴριδος καὶ τοῦ Ποσειδῶνος ἀγανακτοῦντος πρὸς τὸν Δία· παραινεῖ αὐτῷ ἡ Ἶρις εὐπρεπέστερον λέγειν, ἵν᾽ ἀκινδυνότερος ὁ λόγος ᾖ· καὶ ταύτῃ παραινοῦσα ἐν τῇ | παρρησίᾳ τῆς παραινέσεως τὸ εὐπρεπὲς διοικεῖ·* 324 *ὥςτε κατὰ τὸ παράγγελμά ἐστι καὶ ἡ τέχνη παραδιδομένη·*

*Οὕτω γὰρ δή τοι, γαιήοχε κυανοχαῖτα,*
*τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε,*
*ἤ τι μεταστρέψεις;*

*ταῦτα μὲν παραινεῖ τὸ εὐπρεπὲς διδάσκουσα. ποιεῖ δὲ αὐτὴ αὐτὸ πῶς; μετὰ γὰρ ἐπαίνων θεραπεύει αὐτόν, ἵνα ἀνάσχηται τῆς παρρησίας, καὶ τὴν ἀπειλὴν αὐτῷ ἐπάγει ὀνόματι ἑνὶ λέγουσα ‛Διὶ μῦθον’.*

4 *Ὁ δὲ ἕτερα λέγων καὶ ἕτερα διοικούμενος λόγος ἐστὶ τῆς Θέτιδος πρὸς τὸν Ἀχιλλέα, ἄλογος εἶναι*

16 Homerus *O* 201—203

1 *δείξωμεν* Pa 2 *ἐσχημ.* deleui | *πανηγυρικὰς* Pa 3 *ἔστι* a 4 *λέγει* a: *λέγειν* P | *ἃ* restituit Lietzmannus cf p 43, 16 5 *λέγει* s: *λέγειν* P 6 *ποῦ* inserui 7 *τὴν διδασκαλίαν* G ut ci Sylburgius | *πάντων* ci Sylburgius 9 *τὸ*] *τὸν* Pa 11 *αὐτοῦ* s | *ἴρις* P 14 *κατὰ*] *καὶ* Pa 18 *ἤν* G | *μεταςρεψ^ς* P *μεταστρέψῃς* Ga 19 *μὲν* P: *καὶ* a 23 *λόγος*] *ὁ λόγος* Pa

*δοκῶν, ἂν μή τις τὸ σχῆμα γνῷ. παραμυθουμένη γὰρ τὸν υἱὸν ἐπὶ τῷ Πατρόκλου θανάτῳ λέγει·*

*ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
μίσγεσθαι.* |

325 *τίς ἂν εἴη ταύτης τῆς παραινέσεως ἀπρεπεστέρα παρὰ μητρός; ἀλλὰ ὡς μητρικῶς παραμυθουμένη ὑπαινίττεται πρὸς τὸν Ἀχιλλέα, ὅτι οὐ χρὴ αὐτὸν τρυφᾶν, ἀλλὰ μεμνῆσθαι καὶ τῆς προτέρας χάριτος τῆς περὶ τὴν Βρισηίδα, ὅτι ἐπήμυνεν αὐτῷ ὁ Ζεύς, καὶ ἵνα ἀπολάβῃ, δεινὰ πεπόνθασιν οἱ Ἀχαιοί. ἵν' οὖν μὴ ὀνειδίζοι τοῦτο, ὡς λύπης παραμυθίαν προτείνουσα τὸ καὶ συναναπαύσασθαι τῇ γυναικὶ τὴν ἀνάμνησιν ἐποιήσατο. σαφέστερον δὲ τὸ εἶδος τοῦτο δηλοῖ ὁ Διομήδους λόγος πρὸς Ἀγαμέμνονα, ὅτε Ἀγαμέμνων ἀπόπειραν ποιεῖται τῶν Ἑλλήνων τῶν ἀριστέων, τὸ δεύτερον κελεύων φεύγειν·*

*Ἀτρείδη, σοὶ πρῶτα μαχέσσομαι ἀφραδέοντι,
ἣ θέμις ἐστίν, ἄναξ, ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς.
ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσιν,
φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα. ταῦτα δὲ πάντα
ἴσασ' Ἀργεῖοι ἠμὲν νέοι ἠδὲ γέροντες.
σοὶ δὲ διάνδιχ' ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω,
σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων·* |

3 Homerus *Ω* 130 17 *I* 32—49

1 cf schol Townl *ἢ τάχα ὑποκλέπτουσα αὐτὸν τοῦ πένθους ταῦτά φησι* 3 *δὴ* h 4 *μίγεσθαι* Pa: corr G[1] 5 cf Aristonicus *ὅτι ἀπρεπὲς μητέρα υἱῷ λέγειν 'ἀγαθόν ἐστι γυναικὶ μίσγεσθαι'* 7 *τρυφᾶν* cf p 74, 26 8 et 12 *καὶ* del Schottus 11 ante *τοῦτο* uolgo distinguebant 12 *τὸ*] nescio an *τοῦ* scribendum sit 13 *δὲ τὸ* P: *δὲ* s 17 *μαχήσομαι* Gs 18 *ἡ* P *ἦ* a 21 *ἴσασσ'* P | *ἀργεῖοι* P: *ἀργείων* mg G[2], s cum exemplis Homeri | *νεοὶ* P 23 *σκήπτρῶι* sic P

ἀλκὴν δ' οὔ τοι δῶκεν, ὅ τε κράτος ἐστὶ μέγιστον. 326
δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;
εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται, ὥςτε νέεσθαι,
ἔρχεο· πάρ τοι ὁδός. νῆες δέ τοι ἄγχι θαλάσσης
ἑστᾶσ', αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί.
ἀλλ' ἄλλοι μενέουσι καρηκομόωντες Ἀχαιοί,
εἰς ὅ κε περ Τροίην διαπέρσομεν· εἰ δὲ καὶ αὐτοί,
φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
νῶι δ', ἐγὼ Σθένελός τε, μαχησόμεθ', εἰς ὅ κε τέκμωρ
Ἰλίου εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλουθμεν.

οὗτος ὁ λόγος, ἂν μή τι ἕτερον διοικῆται ἢ λέγει, παντάπασιν ἄτοπός ἐστι καὶ ἀσχήμων· τὸ γὰρ ἐν κακοῖς ἐπιτίθεσθαι τῷ βασιλεῖ καὶ λοιδορεῖσθαι ἀπρεπέστατον. καὶ ἔοικέ πως ὁ Διομήδης ὁμολογεῖν, ὅτι ἀπρεπῶς χρῆται τῷ λόγῳ· προοιμιάζεται γοῦν παραιτούμενος. καὶ ἀτοπώτατον πρᾶγμα λέγει· ὅτε μὲν αὐτῷ ὠνείδιξεν ὁ Ἀγαμέμνων, ἤνεγκεν εὐπρεπῶς καὶ τῷ Σθενέλῳ 327 ἀποκρινομένῳ ἐπετίμησεν·

Τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ.
οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι ποιμένι λαῶν
ὀτρύνοντι μάχεσθαι ἐυκνήμιδας Ἀχαιούς.

νῦν δὲ ἀναμιμνήσκεται καὶ μνησικακεῖ. εἰ δέ τις φαίη 'ἐπειδὴ ἠρίστευσεν, θαρρεῖ', τοσούτῳ μᾶλλον ὑβριστότερος φαίνεται, εἰ τῇ τύχῃ ἐντρυφᾷ. ἀλλ' εἰδέναι χρή,

21 Homerus Δ 412—414

3 ὤσ P 6 μυκήνηιθεν P 8 εἰσ ὅκεπερ P 10 μαχησόμεθ' εἰς ὅκε P 13 λέγηι P, a: corr Sylburgius 15 ἀπρεπέστερον Pa 16 ὅτι εὐπρεπῶσ Pa 18 λέγει] fort γίνεται 20 ἐπετίμησε a 25 ὑβριστικότερος s

ὅτι αὗται αἱ λοιδορίαι αἱ πρὸς Ἀγαμέμνονα χρυσὸς ἦν τῷ Ἀγαμέμνονι. ἐν γὰρ σχήματι τοῦ ἀγανακτεῖν πρὸς αὐτὸν συναγορεύει· καὶ βουλόμενος παραινέσαι τοῖς ἀριστεῦσι μένειν καὶ μὴ ἀπαλλάττεσθαι οὐκ ἐν σχήματι παραινέσεως διαλέγεται ἀλλ' ἐν ὀργῆς τῆς πρὸς τὸν Ἀγαμέμνονα σχήματι κατετόλμησεν τοιαύτην γνώμην καταθέσθαι εἰς μέσον. ἤδη γὰρ ἡ λοιδορία ἐπὶ τοῦτο ἔρχεται·

δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις; |

328 ἃ γὰρ ἔδει συμβουλεύοντα πείθειν, μένειν, ταῦτα λέγει ὡς ἀγανακτῶν, εἰ ἀξιοῖ ⟨μὴ⟩ μένειν αὐτοὺς ὡς φεύγοντας· προτείνεται γάρ. εἶθ' ἡ ἐπίτασις τοῦ ʽσὺ πορεύου, καὶ οἱ ἄλλοι μενοῦσιν'. οὐ γὰρ ἀξιοῖ συμβουλεύειν μένειν, ἀλλ' ὡς πεπεισμένων διαλέγεται· εἶτα φοβούμενος, μὴ ἐνδῶσιν, καὶ αὐτοῖς συγχωρεῖ φεύγειν. οὗτος ὁ σχηματισμός ἐστι τοῦ ἄλλα λέγοντα ἄλλα διοικεῖν.

Τὸ δὲ τὰ ἐναντία οἷς λέγει διοικεῖσθαι ἐν τῇ ἀναγ- 5
καιοτάτῃ ἐστὶ δημηγορίᾳ τῇ Ἀγαμέμνονος. καὶ τηρητέον, ὅτι ἐν κινδύνοις οἱ σχηματισμοὶ εὑρίσκονται. ὁ γὰρ Ἀγαμέμνων ἀπόρως ἔχει ἐκστρατεῦσαι τοὺς Ἕλληνας, καὶ προτείνει αὐτὸς τὴν ἀπορίαν·

Ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.
πρῶτα δ' ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστί,

9 Homerus *I* 40—41 24 *B* 72—75

5 διαλέγεται] λέγεται Pa λέγει G cf p 43, 22 et infra u 15 6 κατετόλμησεν] καὶ ἐτόλμησεν (-σε a) Pa 12 ἀξιοῖ sc Agamemno | μὴ suppleui 13 τοῦ] fort τὸ 16 ἐνδῶσι s | συγχωρεῖν a 19 ἀναγκαιοτάτῃ] fort πρώτῃ (ᾱ) κατὰ τὸ β̄ 23 ἀτοπίαν Pa: corr Schottus 25 ἥ P: ἧ a itemque p 76, 11

καὶ φεύγειν σὺν νηυσὶ πολυκλήισι κελεύσω· |
ὑμεῖς δ᾽ ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν. 329

καὶ τῆς διαπείρας ἡ αἰτία φανερὰ τῷ νοῦν ἔχοντι, ὅτι ἐπειδὴ ὁ Ἀχιλλεὺς ἀφέστηκεν τοῦ Ἑλληνικοῦ καὶ οὐ συστρατεύεται (ἦν δὲ ἡγεμὼν πάντως τοῦ στρατεύματος), ζητεῖ, πῶς ἂν δίχα Ἀχιλλέως ἐξέλθοιεν. καὶ οἶδεν τοὺς Ἕλληνας ὀργιζομένους ἐπ᾽ Ἀχιλλεῖ, καὶ φοβεῖται, μὴ ἄρα, ἂν κελεύσῃ, οὐχ ὑπακούσωσιν τοῦ στρατηγοῦντος·

ἀλλ᾽ ἄγετ᾽ αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.

καὶ τό·

πρῶτα δ᾽ ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστί,
καὶ φεύγειν σὺν νηυσὶ πολυκλήισι κελεύσω.

καὶ ἐάν τις προτείνῃ ἡμῖν, ὅτι οὐ τυγχάνει τῆς προαιρέσεως Ἀγαμέμνων, ἀλλ᾽ ἀποπειρώμενος κινδυνεύει ἡττᾶσθαι καὶ ἀτυχῶς χρῆται τῷ λόγῳ (ὡρμήκασι γὰρ | εἰς τὰς πατρίδας), ἀγνοεῖ ὅτι Ἀγαμέμνονος τέχνη αὕτη 330 ἐστὶ τὸ ὁρμῆσαι αὐτούς· οὐ γὰρ οἴεται τῇ ἀποπείρᾳ τῶν λόγων καθέξειν αὐτούς. ἀλλὰ τίς ἡ τέχνη; ἐπειδὴ ἀγανακτοῦσιν ὑπὲρ Ἀχιλλέως, οὐκ ἐνδείκνυνται δὲ τὴν ἀγανάκτησιν, ἕως ἂν χρεία γένηται ἐξόδου, βούλεται αὐτοὺς ἀπορρῆξαι τὸν θυμὸν καὶ φανεροὺς γενέσθαι ὀργιζομένους, καὶ ὑπὸ τῶν ἀρίστων κατασχεθῆναι. τοῦτό τοι καὶ γίνεται· φαίνονται ἑτοίμως ἀπιόντες εἰς τὰς πατρίδας, Ὀδυσσεὺς δὲ καὶ Νέστωρ κατέχουσιν αὐτούς. ταῦτα οὖν ὁ Ἀγαμέμνων ἀποπειρώμενος φα-

9. 11 Homerus *B* 72—74

3 διὰ πείρας P | τῷ συνέχοντι P uolg sed γρ τῷ νοῦ (sic) ἔχοντι mg P. τὸ συνέχον contextus 4 ἐφέστηκεν a 5 ἡγεμῶν P | πάντως] παντὸς Pa 6 οἶδε a 8 τοῦ στρατηγοῦντος] τούτου ὄντος Pa τούτου ἀπόντος ci Hudson 11 ἔπεσσιν P 20 fort ἕως ἂν ⟨μὴ⟩ 23 τοι P: σοι Ga 25 ὁ om G

νερῶς τοῦ σχήματος τὴν διδασκαλίαν παιδεύει· τὰ γὰρ ἐναντία οἷς βούλεται λέγει. ἔστι δὲ ἡ μέθοδος τούτων τῶν λόγων θαυμαστή τις καὶ ἄτοπος· τὰς γὰρ ἐν λόγοις ῥητορικοῖς κακίας ταύτας αὕτη ἡ ἰδέα ἀρετὰς ἀναφαίνει. εἰσὶ δὲ κακίαι λόγων ῥητορικῶν τό τε εὐδιάλυτα λέγειν καὶ τὸ ἀγχίστροφα· ὧν τὸ μὲν ἀσθενείας, τὸ δὲ καὶ κινδύνου. δι᾽ ἀμφοτέρων πορεύεται
331 ὁ Ἀγαμέμνων εἰκότως. | ὥςπερ γὰρ ὅταν τις ἃ βούληται λέγῃ, οὐ χρὴ αὐτὸν ὑπεναντίοις ἔπεσι χρῆσθαι οὔτ᾽ εὐδιαλύτοις, οὕτως ὅταν τις ὧν λέγῃ τὰ ἐναντία βούληται, ἀνάγκη αὐτῷ τὴν κακίαν τὴν ἐπὶ τῶν λόγων ἀρετὴν ἐνταῦθα ποιήσασθαι· εἰ δὲ μή, συμβήσεται αὐτῷ ἐναντιώσει περιπεσεῖν ἄλλα τε πεῖσαι, οὐχ ἃ βούλεται. τοῦτο μὲν οὖν καὶ οἱ μελετῶντες ἴσασιν. ὅταν γάρ τις προσέλθῃ τῇ βουλῇ ἀξιῶν ἀποθανεῖν, οὐδεὶς αὐτῶν ἀποθανεῖν βούλεται, ἀλλὰ τὰ ἐναντία βούλεται ὧν λέγει. καὶ οἱ τὰ δῶρα ⟨τὰ⟩ παρὰ τῶν φίλων ἀπωθούμενοι, βουλόμενοι δέξασθαι, λέγουσιν μὲν τὰ ἐναντία, πράττουσιν δὲ τὰ ἐναντία. δεῖ οὖν ἡμᾶς διδάξαι, πῶς μὲν λέγει εὐδιάλυτα καὶ στρεφόμενα, τὸ δὲ μέγιστον, πῶς ἔλαθεν τοῦτο ποιῶν· ἐπεὶ συμβήσεται, ἂν κατάφωρος ἡ τέχνη γένηται, καὶ τὸν ἀκούοντα ἀντιτεχνάζειν καὶ ἀντισχηματίζειν, προσποιούμενον πείθεσθαι καὶ συγχωρεῖν. ὅτι μέντοι εὐδιάλυτα λέγει, ἐκεῖνο σημεῖον· |

6 τὸ post καὶ om G | ἀγχίστροφα P: ἀντίστροφα a  7 καὶ om G  8 βούλεται Ga  9 λέγειν P: corr s | οὐδ᾽ Radermacher  10 λέγηι P: λέγει Ga  11 ἐπὶ] ἐκ Pa  13 αὐτῶ compendio P | ἄλλό τι et mg γρ ἀλλ᾽ ἔτι πεῖσαι P: corr Sylburgius  16 αὐτῶν P: αὐτὸν s  17 τὰ inserui  18 ἀποθούμενοι Pa: corr Sylburgius | λέγουσι, 19 πράττουσι et 21 ἔλαθε a  22 κατάφορος a

ὅς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν 332
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι·

εἰ τοίνυν ὑπέσχετο καὶ κατένευσεν, περιμενετέον.

νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
δυσκλέα Ἄργος ἱκέσθαι·

πάλιν ἀντιλαβὴν ἔχει· οὐ γὰρ δεῖ δυσκλεᾶ ἀπιέναι. ταῦτα μὲν εὐδιάλυτα· ἐκεῖνα δὲ σαφῶς στρεφόμενα·

αἰσχρὸν γὰρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
μὰψ οὕτω τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν
ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι·

ταὐτὰ φανερῶς ὁ ἀντιλέγων ἐρεῖ·

αἰσχρὸν γὰρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι.

πῶς οὖν διοικεῖ; ὅτι μὲν γὰρ εὐδιάλυτα λέγει καὶ στρεφόμενα, δῆλον· καὶ ἔτι μᾶλλον, ἂν ἐπεξίῃ τις τὴν τέχνην τῶν ἐπῶν, εὑρήσει. ἀλλὰ τίς ἡ τέχνη τῶν τοιούτων; πάθους προβολὴ πρὸ τοῦ λόγου, ἵνα δοκῇ ὑπὸ λύπης φέρεσθαι αὐτῷ ὁ λόγος, μὴ ἐξ ἐπιβουλῆς διοικεῖσθαι. διὰ τοῦτο Ἀγαμέμνων ἀπὸ σχετλιασμοῦ ἤρξατο· |

Ζεύς με μέγας Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ 333
σχέτλιος —

ὁ οὖν τῷ Διὶ οὕτω προσφερόμενος καὶ βλασφημῶν δῆλός ἐστιν ὑπὸ λύπης ⟨ἐξιστάμενος⟩ καὶ ἀσύμφωνα αὐτῷ λέγων. πάθους οὖν προβολὴ κλοπὴ γίνεται διοικήσεως τεχνικῆς. τοιοῦτο μέν ἐστι τὸ σχῆμα τοῦ τὰ ἐναντία λέγειν οἷς βούλεται.

1 Homerus *Β* 112—113  4 *Β* 114  8 *Β* 119—121  19 *Β* 111

6 δυσκλέα P  8 et 12 τὸ δέγ' P  11 ταῦτα Pa  13 γὰρ] οὖν G  14 ἂν ἐπεξείη P: corr G  16 πάθους ὑπερβολὴ Pa cf l 23  22 inter λύπης et καὶ litterarum fere XIII spatio P hiat  23 αὐτῶι P: corr s | προβολὴ P: προσβολὴ Ga  24 τοῦ] τὸ Pa

Ἔστι δὲ καὶ τέταρτον σχῆμα βαθύτατον, τὸ δι' ἄλλων πορευόμενον καὶ παντελῶς ἐπ' ἄλλης ὑποθέσεως τὸν λόγον ποιούμενον ἄλλην περαίνειν. καὶ τούτου Ὅμηρος τὸ παράδειγμα ἔδωκεν καὶ ἔλαθεν τοὺς πολλούς. ἐπὶ γὰρ τῇ ἀποπείρᾳ τοῦ Ἀγαμέμνονος, ἣν ποιεῖται πρὸς τοὺς Ἕλληνας, οἱ κατέχοντες τὸ Ἑλληνικόν εἰσιν Ὀδυσσεὺς καὶ Νέστωρ. καὶ θαυμαστὸν τί ἐν τῷ λόγῳ; ἔστι διπλοῦν τὸ θαυμαστόν· ἔοικεν ὁ Νέστωρ μηδὲν ἴδιον λέγειν, ἀλλὰ τὰ αὐτὰ λέγειν τῷ Ὀδυσσεῖ, ὥςπερ μετατιθεὶς τὰ διδασκάλου· καὶ ἀπονέμει αὐτῷ ἔπαινον ὁ Ἀγαμέμνων ὡς κρατοῦντι
334 τῶν Ἑλλήνων ἐν ταῖς βου|λαῖς, ὅ πέρ ἐστιν ἀτοπώτατον. καὶ λέγουσιν οἱ διδάσκαλοι, ὅτι ἐπειδὴ ἐπήνεσεν τὸν Ὀδυσσέα τὸ πλῆθος, ἵνα μὴ λυποῖτο ὁ γέρων, καὶ ὁ Ἀγαμέμνων τὸν γέροντα· ὡςπερεὶ παιδαρίων ἐν διδασκαλείῳ ἐπιδεικνυμένων καὶ παραμυθίαν τοῦ διδασκάλου ἀπονέμοντος, ἵνα μὴ κλαίῃ τὰ παιδία. ἀλλ' ἡ τέχνη τίς; ὅλως ἡ αὐτὴ ὑπόθεσις τῶν λόγων οὐκ ἔστιν Ὀδυσσεῖ καὶ Νέστορι. ἔροιτο ἄν τις· καὶ πῶς οὐχ ἡ αὐτὴ ὑπέθεσις; τὰ αὐτὰ γὰρ λέγουσιν. τοῦτο ἡ τέχνη ἡ Νέστορος, ὅτι τὰ αὐτὰ λέγων οὐκ εἰς τὴν αὐτὴν ὑπόθεσιν λέγει. ἀλλ' ἡ τέχνη τίς; ἐπειδὴ μέλλει χαλεπὴν ὑπόθεσιν πείθειν, πορεύεται διὰ τῆς πεπεικυίας ὑποθέσεως· πεπεισμένοι εἰσὶν οἱ Ἕλληνες ὑπὸ τοῦ Ὀδυσσέως μένειν, καὶ ἤνεγκαν αὐτοῦ τὴν ἐπιτίμησιν καὶ τὴν παραμυθίαν. ἀλλ' ἔχει χαλεπωτέραν ὑπόθεσιν ὁ γέρων· πορεύεται οὖν δι' ὧν ἔπεισεν Ὀδυσσεὺς καὶ τὰ αὐτὰ λέγει Ὀδυσσεῖ· 6

3 καὶ τοῦτο Pa: corr Schottus 4 ἔλαθε a 7 θαυμαστόντι ἐν τῶι λόγωι εστι P: corr s 12 ὅπερ ἐστὶν a 13 ἐπήνεσε a 15 ὡς περὶ Pa ὥςπερ G | διδασκαλίωι P: corr Gs 20 λέγουσι s 23 τῆς om G

ὥςτε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες |
ἀλλήλοισιν ὀδύρονται οἶκον δὲ νέεσθαι 335

Ὀδυσσεύς. τὰ αὐτὰ ὁ γέρων·

Ὢ πόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε
νηπιάχοις.
Πῆ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν;
ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν

⟨Νέστωρ. ἀλλ' Ὀδυσσεύς·⟩

μάλα δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ
πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσιν.

λέγει ἐκεῖνος σημεῖον μαντείας τὸ περὶ τὸν Κάλχαντα, οὗτος τὰ τῆς ἀστραπῆς· ὥςτε διὰ τῶν αὐτῶν πορεύονται. τί οὖν ἐστι τὸ παραλλάττον; διδάσκει τὸ παραλλάττον τῆς ὑποθέσεως τῶν ἐπαίνων ἡ διαίρεσις. ἐπήνεσαν οἱ Ἀχαιοὶ καὶ τὸ πλῆθος τὸ κοινὸν τὸν Ὀδυσσέα· πεισθέντες μένουσιν, καὶ τὸ ἔργον τοῦ Ὀδυσσέως λαμπρόν·

τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετ' ἠὲ νέεσθαι |
ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν. 336

ὁ γέρων ἄλλην ὑπόθεσιν ἔχει· ἐπειδὴ γὰρ πεπεισμένοι εἰσὶν οἱ Ἕλληνες μένειν, ζητεῖ αὐτοὺς ἐκστρατεῦσαι. οὐδὲν γὰρ ὄφελος τοῦ μένειν ἄνευ τοῦ ταχθῆναι· ὅ περ μάλιστα ὑπόθεσίς ἐστι καὶ ζήτησις τοῦ Ἀγαμέμνονος·

ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν,

1 Homerus *Β* 289—290 4 *Β* 337 6 *Β* 339—340 9 *Β* 284—285 17 *Β* 453—454 23 *Β* 72

2 *οἶκον δὲ* P ut p 60, 6 4 *ἢ* P 5 uersum ex Homero supplet G 9 *ἦ μάλα δή σε* Pa uoces necessariae ut omitterentur litterarum similitudo causa fuit. *Ἀτρείδη, νῦν δή σε* Homeri exempla 10 *βροτοῖσι* a. probabile est a scriptore uersum proximum *Β* 286 additum fuisse cf p 60, 11 11 *τὸ περὶ* P: *τὸν περὶ* a *τῶν περὶ* Gs 13 *παραλλάτον* post *ἐστι τὸ* pr P[1] 23 *θωρήξομεν*] *θωρ* sscr *η* P

πῶς ⟨ἂν⟩ ἄνευ τοῦ Ἀχιλλέως ἐκστρατεύσοιντο. ἔστιν οὖν τοῦ Νέστορος ἡ ὑπόθεσις·

κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον·
ὡς φρήτρη φρήτρηφιν ἀρήγει, φῦλα δὲ φύλοις.
εἰ δέ κεν ὣς ἕρξῃς καί τοι πείθωνται Ἀχαιοί,
γνώσει ἔπειθ', ὅς θ' ἡγεμόνων κακὸς ὅς τέ νυ λαῶν
ἠδ' ὅς κ' ἐσθλὸς ἔησι· κατὰ σφέας γὰρ μαχέονται.

αὕτη ἡ ὑπόθεσίς ἐστιν, ἧς χρείαν ἔχει ὁ Ἀγαμέμνων· αὕτη ἡ ἐπικίνδυνος ὑπόθεσις τῶν λόγων τῷ Νέστορι· ὡς ἐν παρέργῳ δὲ αὐτὴν ἔρριψεν |

337 ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν

ὡς προσθήκην τῷ λόγῳ ποιούμενος· καὶ γίνεται ὥςπερ τέλος τῆς δημηγορίας τῆς πεπεικυίας χρεία δημηγορίας ἀναγκαιοτέρα. διὰ τοῦτο Ἀγαμέμνων τυχὼν ὧν ἐβούλετο ἐπαινεῖ τὸν γέροντα·

Ἦ μὰν αὖτ' ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.
τῶ κε τάχ' ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.

ὅτι δὲ αὕτη ἐστὶν ἡ ὑπόθεσις τοῦ Νέστορος, τὸ ἐκστρατεῦσαι, καὶ ὅτι τοῦτο ἐπαινεῖ σχήματι ὁ Ἀγαμέμνων ὡς τυχὼν ὧν ἐβούλετο, τίς ὁ ἔλεγχος καὶ τίς ἡ ἀπό-

3 Homerus *B* 362—366 11 *A* 297 al a scriptore cum *B* 360—361 confusus 16 *B* 370—374

1 ἂν inserui 4 ὧσ et ἀρήγει P ut p 61, 19 5 ὧσερξ(ης) solito conpendio P 6 γνώσει P 7 έησι P 11 σῆισι P 14 an ἀναγκαιοτέρας? 16 γέρων P 19 τώκεταχ' P 21 αὐτή ἐστιν P: corr Gs 22 ἐπαινεῖ, σχηματίζει — 23 ἐβούλετο. τίς distinguebatur: sententiam perspexit Sylburgius 22 σχήματι] σχηματίζει Pa σχηματίζων coni Sylburgius 23 ἀπόδειξ[ις] cum ras P

δειξις; φοβεῖται, μὴ οὐ πείσῃ ὁ Νέστωρ, καὶ βοηθεῖ αὐτῷ, ὅσα δύναται. τί οὖν ἐστι τὸ μὴ ποιοῦν πείθειν τὸν Νέστορα; ὀργὴ ὑπὲρ Ἀχιλλέως τῶν Ἑλλήνων. παραμυ|θεῖται τὴν ὀργὴν αὐτῶν ὁ Ἀγαμέμνων ὁμο- 338
λογῶν ἡμαρτηκέναι, καὶ μέμνηται τοῦ Ἀχιλλέως, ἵνα μαλάξῃ αὐτῶν τὸν θυμὸν τὸν ἐπ' αὐτῷ. ἐπεὶ τί βούλεται τὸ

ἀλλά μοι αἰγίοχος Κρονίδης Ζεὺς ἄλγε' ἔθηκεν,
ὅς με μετ' ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει.
καὶ γὰρ ἐγὼν Ἀχιλεύς τε μαχεσσάμεθ' εἵνεκα κούρης
ἀντιβίοις ἐπέεσσιν· ἐγὼ δ' ἦρχον χαλεπαίνων.
εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν, οὐκέτ' ἔπειτα
Τρωσὶν ἀνάβλησις κακοῦ ἔσσεται οὐδ' ἠβαιόν.

ἐποίησεν αὐτοὺς οἰκτεῖραι, εἰ ὁμολογεῖ τὸ ἁμάρτημα, καὶ ἀπεπλήρωσεν αὐτῶν τὸν θυμόν. εἶτα συναγορεύσας τῷ γέροντι καὶ παραμυθησάμενος, ἀφεὶς ταῦτα ἐπὶ τὸ οἰκειότατον ἔρχεται, ἐπὶ τὸν βασιλέα·

νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα.

ταῦτα κελεύσας ἐπάγει σφίσι καὶ τὴν ἀπειλήν, ἐὰν δή τις χωρίζηται· |

ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης ἐθέλοντα νοήσω 339
μιμνάζειν παρὰ νηυσὶ κορωνίσιν, οὔ οἱ ἔπειτα
ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ' οἰωνούς.

ὥςτε ἄρχεται ἀπὸ ἐπαίνου συναγορεύων τῷ Νέστορι, εἶτα παραμυθεῖται τὸν θυμὸν ὁμολογῶν ἡμαρτηκέναι,

8 Homerus *B* 375—380 18 *B* 381 21 *B* 391—393

1 πείσει P: corr s 4 ὁ om G 6 τὸν ἐπ' P: ἐπ' a 8 ἔδωκεν G 10 ἀχιλλεύστε P 17 βασιλέα] πόλεμον scripsissem, nisi probabilis coniectura esset scriptum fuisse ἐπὶ τὸ ⟨κελεύειν ὡς⟩ βασιλέα cf u 19 et p 83, 1 19 σφίσι] φησι compendio P φησὶ a: om G, corr Sylburgius | δὲ τις P, a: corr Sylburgius 25 εἶτα P: ἔπειτα Ga

εἶτα κελεύει καὶ ἀπειλεῖ βασιλικῶς. αὕτη οὖν ἡ τέχνη
τίς ἐστι; τὸ ἐπ᾽ ἄλλης ὑποθέσεως πεπεικυίας πρότερον
⟨εἰπόντα⟩ ἐπὶ τέλει ὡς πάρεργον ἐρρίπτειν τὴν οἰ-
κειοτέραν ὑπόθεσιν. ταύτην τὴν τέχνην τίς ἐμιμήσατο
καὶ τίς ἐξηγήσατο; Πλάτων. ἐγκώμιον λέγει ἐν τῷ
Συμποσίῳ Ἀλκιβιάδης Σωκράτους. ἐπὶ τέλει τοῦ ἐγκω-
μίου λέγει πρὸς Ἀγάθωνα ὁ Ἀλκιβιάδης· 'ὅρα τοίνυν,
340 ὦ | Ἀγάθων, μὴ πάθῃς, ὅ περ οἱ πολλοί. ὁ γὰρ
Σωκράτης οὗτος προσποιεῖται ἐραστὴς εἶναι, εἶτα ἐρώ-
μενος ἀναφαίνεται. μὴ οὖν καὶ σὺ τὸ αὐτὸ πάθῃς,
ὅ περ καὶ πάντες πεπόνθασιν'. ἔτυχεν δὲ ὁ Ἀλκι-
βιάδης ἐρῶν τοῦ Ἀγάθωνος καὶ ἐβούλετο ὑπὸ μηδενὸς
ἄλλου αὐτὸν ἐρᾶσθαι, καὶ ἐπὶ τέλει ἔρριψεν τὴν παραί-
νεσιν τὴν πρὸς Ἀγάθωνα ὡς ἐπὶ τοῦ ἐγκωμίου λέγων.
αὐτὸς ἐξηγεῖται ὁ Σωκράτης τὴν τέχνην· 'νήφειν μοι
δοκεῖς, ὦ Ἀλκιβιάδη'· ἐδόκει γάρ μεθύειν ὁ Ἀλκι-
βιάδης· 'οὐ γὰρ ἂν κομψῶς γε' φησίν 'τὸ σατυρικὸν
δρᾶμα περιέβαλες, εἰ μὴ ἔνηφες. καὶ πάντα ταῦτα
εἴρηκας ὑπὲρ τοῦ διαβάλλειν ἐμὲ καὶ Ἀγάθωνα, ἵνα
341 ἐγὼ μὲν σοῦ ἐρῶ καὶ μηδενὸς ἄλ|λου. καὶ γὰρ ἐποί-
ησας αὐτό' φησίν 'ὡς οὐδέν τι, ἐπὶ τέλει αὐτὸ εἰπών,
ὡς οὐχ ἕνεκα τούτου πάντα τὰ ἄλλα εἰρηκώς. ἀλλ᾽

7 Plato conuiuii p $222^{b}$ 15 ibidem p $222^{cd}$. utriusque loci sententia refertur, non uerba

3 *εἰπόντα* inserui | *ἔρριπτεν* P: corr s | *τὴν*] *ἐπὶ* Pa *ἔτι* Sylburgius 8 *οἱ* articulus aduersatur loco Platonis, sed cf 11 *πάντες* 11 *πεπόνθασι. ἔτυχε* s 13 *ἔρριψε* a | *παραίνεσιν* P: *παραίτησιν* Ga 14 *τὴν πρὸς τὸν* G 16 *δοκεῖ* Pa: corr Gualterus Otto 17 *φησι* a 18 *δράμα* a 20 *μέν σου* Pa | post *ἄλλου* haud scio an interciderit *Ἀγάθων δὲ ὑπὸ σοῦ ἐρᾶται καὶ ὑπὸ μηδενὸς ἄλλου* cf Plato 21 *τι*] *ἢ* Pa del Schottus 22 *εἰρηκὼς* cum litura accentus P

*οὐκ ἔλαθες, ἀλλὰ τὸ σατυρικὸν δρᾶμα τοῦτο ἀνεφάνη'. οὕτω γάρ τοι γίνεται ἡ τέχνη καὶ παραδίδοται.*

*Πειρασόμεθα οὖν δεῖξαι μετὰ τὰ Ὁμηρικὰ καὶ παρὰ τοῖς ῥήτορσιν καὶ ἐν δημηγορίαις καὶ ἐν δίκαις καὶ ἐν πανηγυρικοῖς λόγοις καὶ ἐν διαλόγοις τὸ αὐτὸ εἶδος γινόμενον.*

7 *Πρότερον δὲ καὶ ἄλλο εἶδος ἴδωμεν λόγων ἐσχηματισμένων, διπλοῦν τοῦτο· τὸ μὲν πρὸ τῆς τῶν μελλόντων λεχθήσεσθαι παρρησίας ἔνδειξιν τῶν λεχθησομένων ἀσφαλῆ προανακρουομένην τὸ λυπηρὸν τοῦ ἀκούσματος· τὸ δὲ ἐν διοικήσει προσώπων ὑπαλλαγήν, ὅτε διὰ τῶν πρὸς ἑτέρους ἑτέροις ⟨τις διαλέγεται⟩ καὶ ἔχει τὸ ἀσφαλὲς ἐν τῷ μὴ οἷς ἐπιπλήττει αὐτοῖς διαλέγεσθαι, ἀλλ' ἀκουόντων | αὐτῶν ἑτέροις ταῦτα λέ-* 342
*γειν, ἃ τούτοις προσήκει. τί ποτ' οὖν ἐστιν ἑκάτερον τὸ εἶδος; ὁ Ἀχιλλεὺς ἀνέστη καὶ μετὰ τὸν Ἀχιλλέα ὁ μάντις ἐν ἀρχῇ τῆς Ἰλιάδος, ἐλέγχοντες τὸν Ἀγαμέμνονα, ὅτι τὴν αἰτίαν τοῦ νοσήματος αὐτὸς παρέχει. ὁ μὲν Ἀχιλλεὺς ἐν συμβούλου σχήματι ὀνειδίζει τὴν αἰτίαν τῷ Ἀγαμέμνονι τῶν κακῶν ὡς ἀπόρως διακείμενος καὶ ζητῶν τὴν αἰτίαν, καὶ ἀφορμὴν ποιεῖ τῆς παρρησίας τῷ μάντει· ὁ δὲ μάντις ἀντιστοιχῶν τῷ Ἀχιλλεῖ τῇ ἀρνήσει ὧν ὑπέβαλεν ὁ Ἀχιλλεὺς ζητῶν τὰς αἰτίας, προδιοικεῖται τὸ φανερὰν γενέσθαι τὴν αἰτίαν τῶν δεινῶν. ἴδωμεν οὖν τοὺς ἑκατέρων λόγους,*

1 *τοῦτο δράμα* G 2 *γὰρ τί* P: corr s | fort *γίνεταί ⟨τε⟩* 3 *πειρασώμεθα* P: corr Ga 4 *ῥήτορσι* a 7 *εἴδωμεν* a 8 *πρὸ τῆς* P: *πρὸς τῇ* Ga 9 *παρρησίας* P: *παρρησίᾳ* Ga 11 *ἔχον* ante *τὸ δὲ* inserit G | *ἐν διηγήσει* Pa | *ὑπαλλαγήν*] *ὑπαλλαγῆς* Pa. cf l 9 12 *ὅτε*] *ὁ* P *ὃ* a | *τις διαλέγεται* inserui 13 *αὐτοῖς* et 15 *ἐστιν* om G 21 *ποιεῖται* Pa 22 *τὸν μάντιν* Pa: corr Schottus cf p 86, 16 23 *ὑπέβαλεν. ὁ* a

πῶς ἔχουσιν δι' ἀλλήλων καὶ πῶς τὸ εὐπρεπὲς ἔχουσιν οἱ μὲν τοῦ Ἀχιλλέως ἐν βαθύτητι ζητήσεως, οἱ δὲ τοῦ μάντεως ⟨ἐν⟩ ἀσφαλείᾳ πρὸ τῆς ἀποκρίσεως·

Ἀτρείδη, νῦν ἄμμε παλιμπλαγχθέντας ὀίω
ἄψ ἀπονοστήσειν, εἴ κεν θανατόν γε φύγοιμεν, |
343 εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.
ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα
ἢ καὶ ὀνειροπόλον (καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν),
ὅς κ' εἴποι, ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων,
εἴ τ' ἄρ' ὅ γ' εὐχωλῆς ἐπιμέμφεται εἴ θ' ἑκατόμβης·
αἴ κέν πως ἀρνῶν κνίσσης αἰγῶν τε τελείων
βούλεται ἀντιάσας ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι.
Ἦτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο.

μέχρι τούτου οἱ Ἀχιλλέως λόγοι τὸ σχῆμα ἔχουσιν ὑπαινιττομένου εἰς Ἀγαμέμνονα καὶ προσκρούοντος ἐκείνῳ, ἐν δὲ σχήματι ζητήσεως καὶ ἀπορίας τῆς τοῦ δεινοῦ αἰτίας τὸ ἀσφαλὲς προδιοικουμένου. ἡ δὲ ἔνδειξις τοῦ εἰς Ἀγαμέμνονα λέγεσθαι ταῦτα πρῶτον μὲν τὸ πρὸς Ἀγαμέμνονα ποιεῖσθαι τοὺς λόγους, ἀλλὰ μὴ εἰς τὸ κοινόν·

Ἀτρείδη, νῦν ἄμμε παλιμπλαγχθέντας . . .

ὡς γὰρ τιμῶν αὐτὸν διὰ τὸ ἀξίωμα καὶ τὸν κοινὸν λόγον πρὸς ἐκεῖνον ἀποτεινόμενος τὴν ἀσφάλειαν ἔχει τοῦ προσκρούματος. εἶτα ἑξῆς ἐπάγει· |

344 εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.

αἴτιος τοῦ πολέμου Ἀγαμέμνων ἐστὶν συναγαγὼν τοὺς

4 Homerus *Α* 59—68 21 *Α* 59 25 *Α* 61

1 ἔχουσι a 3 ἐν suppleui | ἀσφαλείαι Pa: ἀσφάλεια r | πρὸς s 4 παλιπλαγχθέντας P 7 ἱερεῖα P: corr Ga 8 γὰρ τόναρ P 9 τόσον P 10 εἰ τὰρ P | ἤδε κατόμβης P 14 οἱ om s | τὸ σχῆμα P: om a 21 παλιμπλαχ sscr θ P 26 ἐστὶ a

Ἕλληνας. συνῆψεν καὶ τὸν λοιμὸν τῷ πολέμῳ, καὶ φησὶν αὐτὸν αἴτιον γεγονέναι· τί γὰρ ἡ μνήμη τοῦ πολέμου ἐνταῦθα, εἰ μὴ ἐβούλετο ἀμφοτέρων αἴτιον ἀποφῆναι τὸν αὐτόν; εἶτα ἐπειδὴ ἔδειξεν, ὅτι αὐτὸς αἴτιός ἐστιν, ⟨ἀντὶ⟩ τοῦ χωρὶς σαφῶς εἰπεῖν ἐπὶ τὴν ζήτησιν ἦλθεν·

ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα
ἢ καὶ ὀνειροπόλον· καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν·
ὅς κ' εἴποι, ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων.

ἡ προσθήκη τοῦ 'τόσσον' δηλοῖ, ὅτι τὰς αἰτίας τῆς ὀργῆς ἃς ὑποβάλλει Ἀχιλλεὺς οὐ πιστεύει ἀκούων, ἀλλὰ αἰτίαν μείζονα περιμένει·

εἴ τ' ἄρ' ὅ γ' εὐχωλῆς ἐπιμέμφεται εἴ θ' ἑκατόμβης...

ἐνδέχεται τὸν Ἀπόλλωνα ἕνεκεν εὐχωλῆς καὶ ἑκατόμβης τόσον χολωθῆναι. οὕτω μὲν ὁ Ἀχιλλεὺς διοικεῖται τὸν λόγον. ὁ δὲ μάντις λαβόμενος τῆς ἀφορμῆς αὐτοῖς | τοῖς Ἀχιλλέως λόγοις χρῆται εἰς διατριβὴν τοῦ δεῖξαι 345
τῷ Ἀγαμέμνονι, πρὶν φανερῶς εἰπεῖν, καὶ γίνεται αὐτῷ ἀφορμὴ τῶν λόγων τὸ 'τόσσον'· λέγει γάρ·

οὔ ταρ ὅ γ' εὐχωλῆς ἐπιμέμφεται, οὐδ' ἑκατόμβης.

καὶ πρότερον προδιοικεῖται τὴν ἀσφάλειαν·

Ὦ Ἀχιλεῦ, κέλεαί με, διίφιλε, μυθήσασθαι
μῆνιν Ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος.

7 Homerus *Α* 62—64 20 *Α* 93 22 *Α* 74—77

1 *συνῆψε* a 2 *φησὶν* om G 5 *ἀντὶ* suppleui | *τοῦ* PG: *οὗ* s | *εἰπεῖν* P: *εἶπεν* Ga | *τὴν* P: om a 7 *ἱερεῖα* P 8 *γὰρ τόναρ* P 11 *ἀχιλλεὺς* P: *ὁ ἀχιλλεὺς* Ga 14 fort *οὐκ* uel *πῶς γὰρ* intercidit 15 *ὁ* om G 17 *διατριβὴν* cf p 88, 3 18 *τὸν Ἀγαμέμνονα* Schottus 19 *τόσον* P 20 *ὅν ταρ* P cum Herodiano: *οὔτ' ἄρ'* uolgo | *οὐδ'* P cum libris antiquioribus Homeri: *οὔθ'* s 22 *διΐφίλε* P

*τοιγὰρ ἐγὼν ἐρέω· σὺ δὲ σύνθεο καί μοι ὄμοσσον,*
*ἦ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξειν.*
*ταῦτα γὰρ ὁμολογοῦντός ἐστιν, ὅτι τῷ βασιλεῖ προσκρούσει. εἶτα τῷ προοιμίῳ τούτῳ ἐπάγει·*
*ἦ γὰρ ὀίομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων*
*Ἀργείων κρατέει, καί οἱ πείθονται Ἀχαιοί.*
*εἶτα γνωμολογεῖ·* |
346 *κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηι.*
*εἶτα τὴν τέχνην τῆς ὀργῆς ἐπάγει·*
*εἴ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,*
*ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ*
*ἐν στήθεσσιν ἑοῖσι. σὺ δὲ φράσαι, εἴ με σαώσεις.*
*καὶ ἤδη ἔδειξεν, ὅτι Ἀγαμέμνων τούτων ἁπάντων αἴτιος, μηδέπω εἰπών· καὶ διὰ τοῦτο ἐπάγει ἀντίστοιχα λέγων ὁ Ἀχιλλεὺς καὶ ὁμολογούμενα τούτοις·*
*Θαρσήσας μάλα εἰπὲ θεοπρόπιον ὅ τι οἶσθα.*
*οὐ μὰ γὰρ Ἀπόλλωνα διίφιλον, ᾧ τε σύ, Κάλχαν,*
*εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,*
*οὔ τις ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο*
*σοὶ κοίλῃς παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει*
*συμπάντων Δαναῶν· οὐδ᾽ ἢν Ἀγαμέμνονα εἴπῃς,*
*ὃς νῦν πολλὸν ἄριστος ἐνὶ στρατῷ εὔχεται εἶναι.*
*Καὶ τότε δὴ θάρσησε καὶ ηὔδα μάντις ἀμύμων.* |
347 *ὁμολογεῖ ὁ ποιητὴς τῶν λόγων τὴν διοίκησιν.*

5 Homerus *Α* 78—79 8 *Α* 80 10 *Α* 81—83 16 *Α* 85—92

2 *ἦ μεν* P, a | *ἔπεσι* P 3 *προσκρούει* Ga 4 *ἐπάγει τούτω* G 9 *τέχνην* suspectum, pro *κακοτεχνίαν* dicitur | *τῆς* Pa: *τὴν* h 11 *ἀλλά τε* P: *ἀλλ᾽ ἄγε* G *ἀλλά γε* a 12 *στή-θ[εσσ]ιν* P cum ras | *ἑοῖσιν·* P | *δὲ* supra uersum P[1] | *σαώσης* (*ης* conpendio) P, a 17 *ὄν· μὰ* P | *ἀπόλλωνος* P 18 *δαναοῖσιν* P | *ἀναφαίνης* (*ης* conpendio) P, a 19 *οὔτι σε μεῦ* P

*Μία μὲν αὕτη εὐπρέπεια ἐσχηματισμένων λόγων, τὸ δι' αἰνιγμάτων λέγειν, ἃ φρονεῖ τις, καὶ τὸ τῇ διατριβῇ καὶ τῇ μελλήσει τῶν λόγων εἰπεῖν, πρὶν εἰπεῖν, τῷ προοιμίῳ τὸ μέλλον δείκνυσθαι λυπηρόν.*

8 *ἡ δὲ δευτέρα τίς; ἐλέγομεν ἐκείνην εἶναι τὴν μέθοδον, τὸ ἑτέροις διαλεγόμενον ἑτέρων καθάπτεσθαι τὸ ἀσφαλὲς τοῦ μὴ προσκρούειν τῇ ὑπαλλαγῇ τοῦ προσώπου ἐνδεικνύμενον. καὶ τοῦτο Ὅμηρος ἔδειξεν ἐν Ὀδυσσέως λόγῳ. ὁ γὰρ Ὀδυσσεὺς πρὶν συναγαγεῖν τοὺς ὄχλους εἰς τὴν ἐκκλησίαν, ἵνα δημηγορήσῃ περὶ τῆς μονῆς, ὅτε τὴν ἀπόπειραν ὁ Ἀγαμέμνων ἐποιήσατο, ⟨ἄκουε⟩ οἷον λέγει·*

*Ὅν τινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,*
*τὸν δ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·*
*Δαιμόνι', οὔ σε ἔοικε κακὸν ὣς δειδίσσεσθαι·*
*ἀλλ' αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς. |*
*οὐ γάρ πω σάφα οἶσθ', οἷος νόος Ἀτρείδαο·* 348
*νῦν μὲν πειρᾶται, τάχα δ' ἴψεται υἷας Ἀχαιῶν.*
*ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν, οἷον ἔειπεν.*
*μή τι χολωσάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν.*
*θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος.*
*τιμὴ δ' ἐκ Διός ἐστι· φιλεῖ δέ ἑ μητίετα Ζεύς.*
*Ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι βοόωντά τ' ἐφεύροι,*
*τὸν σκήπτρῳ ἐλάσασκεν ὁμοκλήσασκέ τε μύθῳ.*

13 Homerus *Β* 188—199

4 *τῶι προοιμίωι* P, a *καὶ τῷ πρ.* Schottus. an *ὡς πρ.*? 5 *ἡ δὲ*] *Ἡδ' ἡ* P *ἤδὲ* G *ἡ* a 12 *οἷον λέγει* om G ego *ἄκουε* inserui 15 *ἑοικεν* P 17 *ἀτρείδαο* P a cum plerisque exemplis Homeri: *Ἀτρείωνος* ueteres 19 et p 89, 14 *ἔειπε* s 21 *διοτρεφέος βασιλῆος* P, a cum parte librorum Homericorum: *διοτρεφέων βασιλήων* G cum ceteris 22 *ξεῦ* P 23 *δήμου τ'* P cum plerisque libris Hom: *δήμου* a, Homeri *Α*

ταύταις ταῖς ἐπιτιμήσεσι συνάγει καὶ τοὺς βασιλέας. ὁ μὲν δὴ ἐντυγχάνων τοῖς βυβλίοις οἴεται, ὅπερ καὶ προείρηκεν Ὅμηρος, τοῦτο ποιεῖν αὐτόν, τοῖς βασιλεῦσι φιλοφρόνως διαλέγεσθαι, τοῖς δὲ δήμοις πικρότερον καὶ σφοδρότερον. ὃ δὲ ποιεῖ Ὀδυσσεὺς ὁ Ὁμήρου, οὐδεὶς ὁρᾷ. ἃ γὰρ ἐβούλετο καθάψασθαι τῶν βασιλέων, τῷ δήμῳ διελέγετο· ἃ δ' ἐβούλετο ἐπιτιμῆσαι τῷ δήμῳ, τοῖς βασιλεῦσιν διελέγετο. ἢ εἰπάτω μοί τις, τί ἔδοξεν τῷ Ὀδυσσεῖ τοῖς δημόταις λέγειν |

349 οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ' Ἀχαιοί.
οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
εἷς βασιλεύς,

ἢ τί ἔδοξεν τοῖς βασιλεῦσιν ἐπιτιμῶντα λέγειν

ἐν βουλῇ δ' οὐ πάντες ἀκούσαμεν, οἷον ἔειπεν.
νῦν μὲν πειρᾶται, τάχα δ' ἴψεται υἷας Ἀχαιῶν.

ταῦτα δὲ οὐ τοῖς δημόταις λέγει, ἀλλὰ τοὺς βασιλέας ἀναμιμνήσκει. γέγονεν οὖν ὁ λόγος ⟨ὁ⟩ πρὸς ἑκατέρους ἑκατέροις κοινός. καὶ τὴν ἐξήγησιν ἐπάγει Ὅμηρος τῶν ἐσχηματισμένων τούτων λόγων δι' ὀνόματος ἑνός, ὃ οὐδὲ ὁρῶσιν οἱ ἀναγινώσκοντες, Ὅμηρος δὲ ὑπὸ φιλανθρωπίας ἐξηγήσατο·

ὣς ὅ γε κοιρανέων δίεπε στρατόν.

τί ἐστι τὸ ʽκοιρανέωνʼ; ὡς κοίρανος διαλεγόμενος; οὐ δή που, ἀλλὰ τὸ στρατήγημα τῶν λόγων· οὕτως ὀνο-

10 Homerus *B* 203—205 14 *B* 194. 193 22 *B* 206

1 καὶ] τοὺς δημότας καὶ Schottus 2 βιβλίοις Pa 3 προειρήκαμεν ὅμηρον G² | αὐτοῖς τοῖς Pa 5 ὁ P: om Ga 8 βασιλεῦσι a 9 ἔδ[ο]ξεν P cum ras: ἔδοξε a 13 ἔδοξε a 17 οὖν om G | ὁ ante πρὸς restitui inuitis libris 23 ὡς κοιράνως a 24 ἀλλὰ τὸ P: ἀλλὰ Ga | ante οὕτως distinxi, ὀνομάζων ad l 21 refertur

μάξων κατ' ἐξήγημα τοῦ στρατηγήματος διὰ τοῦ 'κοιρανέων δίεπε στρατόν'. ἡ γὰρ διοίκησίς ἐστι τέχνη ἐν τῷ ὀνόματι λεγομένη. |

9 Ἴωμεν τοίνυν ἐπὶ τὰ πεζὰ παραδείγματα. Δημο- 350
σθένης διδάσκει ἡμᾶς εὐπρεπῶς διαλέγεσθαι, ἃ βούλεταί τις, καὶ οἶδεν τοῦ σχήματος τούτου τὸ ὄνομα· λέγει δὲ ἐν τῷ περὶ τοῦ στεφάνου ὧδε τῇ λέξει· 'ἐπειδὰν ἔλθωσι μὲν οἱ πρέσβεις εἰς Θήβας, πῶς χρῆσθαι τῷ πράγματι παραινῶ, τούτῳ μοι πάνυ προσέχετε τὸν νοῦν'. εἶτα ἐπάγει ὥςπερ διδάσκαλος παραδιδοὺς μαθητῇ τὴν διοίκησιν· 'μὴ δεῖσθαι Θηβαίων μηδέν (αἰσχρὸς γὰρ ὁ καιρός), ἀλλ' ἐπαγγέλλεσθαι βοηθήσειν ἐκείνοις, ἂν κελεύωσιν, ὡς ἐκείνων μὲν ὄντων ἐν τοῖς ἐσχάτοις, ἡμῶν δὲ ἄμεινον ἢ 'κεῖνοι τὸ μέλλον <προορωμένων>· ἵν' ἐὰν μὲν δέχωνται ταῦτα καὶ πεισθῶσιν ἡμῖν, καὶ ἃ βουλόμεθα ὦμεν διοικούμενοι καὶ μετὰ σχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν· ἂν δ' ἄρα μὴ τύχῃ, ἐκεῖνοι μὲν ἑαυτῶν <κατηγορῶσιν>, ἄν τι ἐξαμαρτάνωσιν, ἡμεῖς δὲ μηδὲν <ἂν> αἰσχρὸν μηδὲ κακὸν ὀφθείημεν πεπεισμένοι'. |

8 11 Demosthenes or XVIII 178 p 287, 22—288, 6

1 κατ'] καὶ Pa | διὰ τοῦ] καὶ τοῦ Pa τὸ Schottus 3 fort γενομένη 4 παραδείγματα P: παραγγέλματα Ga 5 ἀπρεπῶς P: corr Ga 6 οἶδε a 8 ἐπειδὰν δ' ἔλθωσιν οἱ ex Demosthene s, ut supra p 47, 1 9 χρῆσθαι P: χρήσασθαι s ut Dem et supra 13 ἀν καὶ λέγωσιν Pa: corr Sylburgius om G ut supra 14 ἢ κεῖνοι P ἢ ἐκείνων a cf supra 15 προορωμένων om Pa: suppleuit G | εἶναι· ἂν Pa: corr G ἵνα ἂν Sylburgius | δέξωνται G, Dem 16 βουλώμεθα P | διωκημένοι G ut supra 17 προσχήματος Dem 18 τύχηι Pa: συμβῇ κατατυχεῖν Dem | ἑαυτῶν κἄν τι Pa: ἑαυτοῖς ἐγκαλῶσιν ἄν τι s cum Dem 19 ἡμῖν δὲ μηδὲν αἰσχρὸν μηδὲ ταπεινὸν ᾖ πεπραγμένον Dem 20 ἂν inseruit Gualterus Otto

351 Τὸ δὲ ἕτερα λέγειν καὶ ἕτερα διοικεῖσθαι δείκνυσί σοι πάλιν ὁ αὐτὸς Δημοσθένης ἐν τοῖς συμβουλευτικοῖς, ἐν τῷ περὶ συμμοριῶν ἐπιγραφομένῳ λόγῳ (ὅςπερ λόγος εἰκότως ἂν καὶ δικαίως ἐπιγράφοιτο Περὶ τῶν βασιλικῶν), ἐν τῷ πρῶτον καὶ μόνος παραστὰς ἀντειπεῖν. ἐν τούτῳ τῷ λόγῳ ἐναντιοῦται μὲν τῇ Ἀθηναίων γνώμῃ, ὡρμηκότων αὐτῶν πολεμεῖν βασιλεῖ. καὶ μία μὲν διοίκησις τοῦ λόγου ἐστὶ τὸ βουλόμενον τὸν ῥήτορα μὴ πολεμεῖν αὐτοὺς βασιλεῖ κλέπτειν δὴ
352 τὴν δόξαν τῷ συμβουλεύειν | βασιλεῖ μήπω πολεμεῖν. καὶ αὕτη ἡ τέχνη ἐστὶν τοῦ ἃ βούλεταί τις, λέγειν εὐπρεπῶς. ποιεῖ δὲ τοῦτο οὕτως· ʽἐγὼ νομίζω κοινὸν ἐχθρὸν ἁπάντων τῶν Ἑλλήνων εἶναι βασιλέα· οὐ μὴν διὰ ταῦτα παραινέσαιμ' ἂν μόνοις τῶν ἄλλων ὑμῖν πόλεμον πρὸς αὐτὸν συνάγειν'. καὶ ἔτι τέχνη βαθυτέρα τὸ κωλύοντα πολεμεῖν ἐπαγγέλλεσθαι περὶ δυνάμεως ᾗ πολεμήσουσιν. τοῦτο μὲν κλέπτοντός ἐστι τὴν ἐναντίωσιν τοῦ πολέμου. μιμεῖται γὰρ ἐνταῦθα τὸν Ἀρχίδαμον τοῦ Θουκυδίδου. καὶ γὰρ ἐκεῖνος ἐπειδὴ ἑώρα τοὺς Λακεδαιμονίους καὶ τοὺς Πελοποννησίους ὡρμηκότας πρὸς τὸν πόλεμον, ἐβούλετο δὲ αὐτοὺς

12 Demosthenes or XIV 3 p 178, 19 cf Thucydides I 80—85

1 τὸν δὲ P: corr Gs | καὶ om G 3 ἐν τῷ noto conpendio ἐν̄ P: ἔν τε Ga 5 fort ἐν τῷ ⟨δήμῳ τότε⟩ | ἐν ᾧ—ἀντεῖπεν Otto | πρῶτος Pa 9 βασιλεῖ· κλέπτει δὲ Pa 10 fort τὴν ⟨ἐναντίαν⟩ δόξαν | δόξαν. τὸ P, a: corr Sylburgius 11 αὐτὴ G | ἐστὶ a 14 τοῖς ἄλλοῖς Pa: ex Dem corr Sylburgius cf supra p 52, 6 15 συνάγειν] αἵρεσθαι (uolg ἄρασθαι) Dem | ἔτι] ἔτι ἡ Pa ἔστι (sic) ἡ Schottus 16 τὸ P: τὸν Ga | ἐπαγγέλεσθαι a 17 η P ᾗ G: om a 18 γὰρ om G 19 τοῦ] ⟨τὸν⟩ τοῦ ci Otto | καὶ γὰρ P: καὶ γὰρ καὶ a 20 καὶ τοὺς P: καὶ Ga

κωλῦσαι πολεμεῖν, τὸ μὲν μὴ πολεμεῖν οὐ τολμᾷ λέγειν
(οὐ γὰρ πείσονται), συμβουλεύων δὲ τὸ μήπω πολεμεῖν
τὸ μὴ πολεμεῖν λέγει. μία μὲν αὕτη διοίκησις ἐν τῷ
λόγῳ. δευτέρα δὲ ἐκείνη· ᾧ μὲν βούλονται πολεμεῖν
οὐ βούλεται αὐτοὺς πολεμεῖν ὁ Δημοσθένης· ᾧ δὲ οὐκ
ἐθέλουσιν πολε|μεῖν, τούτῳ κελεύει πολεμεῖν. καὶ 353
γίνεται διπλοῦς λόγος ἐσχηματισμένος. βασιλεῖ μὲν
γὰρ αὐτοὺς οὐ βούλεται πολεμεῖν, ᾧ πάνυ βούλονται·
Φιλίππῳ δὲ ἀξιοῖ πολεμεῖν, ᾧ οὐ βούλονται. τίνα
οὖν διοίκησιν ἐποιήσατο; ἐξ ἑκατέρας ὑποθέσεως τοῦ
πεῖσαι μὴ πολεμεῖν ᾧ βούλονται καὶ πολεμεῖν ᾧ μὴ
βούλονται συμβουλεύει πολεμεῖν βασιλεῖ, ἀλλὰ μήπω,
παρασκευάζεσθαι δὲ πρὸς αὐτόν. τῷ μὲν οὖν ʽμη-
δέπω’ τὴν ὁρμὴν τὴν ἐπὶ βασιλέα κωλύει, συμβουλῇ
δὲ τῆς παρασκευῆς εὐτρεπῆ τὸν πόλεμον τὸν πρὸς
Φίλιππον ἐργάζεται. καὶ ὅτι αὕτη ἡ τέχνη ἐστίν, λάβε
αὐτὸν Δημοσθένην ὁμολογοῦντα· ʽεἰ μὲν τοίνυν ἕτερός
τις ἦν τρόπος δυνάμεως, ᾗ τοὺς βαρβάρους οἷόν τε
ἦν ἀμύνασθαι, ἕτερος δέ τις, ᾗ τοὺς Ἕλληνας, εἰ- |
κότως ⟨ἂν⟩ φανεροὶ πᾶσιν ἐγιγνόμεθα πρὸς ἐκεῖνον 354
ἀντιταττόμενοι· εἰ δὲ πάσης παρασκευῆς ἐστι τρόπος
ὁ αὐτὸς οὗτος, τοὺς ἐχθροὺς ἀμύνασθαι δύνασθαι,
τοῖς οὖσι συμμάχοις βοηθεῖν, καὶ τὰ ὑπάρχοντα ἀγαθὰ

17 Demosthenes or XIV 10—11 p 180, 25—181, 5

1 κωλύσαι Pa | λέγειν ante οὐ traiecit a 6 ἐθέλουσι a 10 οὖν P: δὲ a | ἐξ ἑτέρας Pa 13 τὸ μὲν Pa 14 συμβουλῆι P: συμβουλὴ s 15 εὐπρεπῆ P: corr a 16 ἐστὶ a 17 τοίνυν] οὖν Dem 18 et 19 ἧι P, a: ᾧ Dem 20 ἂν om Pa: ἂν ἴσως Dem | πρὸς ἐκεῖνον ἐγιγνόμεθ’ Dem | ἐπιγιγνόμεθα P ἐπιγιγνώμεθα a 21 εἰ Pa: ἐπεὶ Dem | παρασκευῆς — 22 οὗτος Pa: ἐστὶ παρασκευῆς ὁ αὐτὸς τρόπος καὶ δεῖ τὰ αὐτὰ εἶναι κεφάλαια τῆς δυνάμεως Dem 23 καὶ ταῦτα παρέχοντα P καὶ ταῦτ’ ὑπάρχοντα s: corr G καὶ om Dem

*σῴζειν, τί τοὺς ὡμολογημένους ἐχθροὺς ἔχοντες ἄλλους ζητοῦμεν; ἀλλὰ παρασκευαζώμεθα μὲν πρὸς τούτους, ἀμυνώμεθα δὲ κἀκεῖνον, ἂν ἡμᾶς πιέσῃ'. καὶ ἀληθῶς τὸ ἀπόρρητον τοῦτο τῆς γνώμης μηνύει ἐν ἄλλῳ λόγῳ· 'ὁρῶ δ' ὑμᾶς Φιλίππου μὲν καταφρονοῦντας, βασιλέα δὲ ὡς ἰσχυρὸν ἐχθρὸν φοβουμένους. εἰ δὲ τῷ μὲν πολεμεῖν οὐ θελήσομεν, τῷ δὲ οὐκ ἀξιώσομεν, πρὸς τίνας παραταξόμεθα';*

*Ἀλλὰ καὶ Εὐριπίδης δι' ὅλων λόγων διοικήσεως* 11
*σχῆμα περαίνει ἐν ὅλῳ δράματι. πρότερον δὲ δείξω-*
355 *μεν [ἐν ὅλῳ δράματι] ἐν μέρει τινὶ* | *σχῆμα διοικούμενον. ἐν τῷ Αἰόλῳ ὁ Μακαρεὺς ἐστιν ὁμιλήσας τῇ ἀδελφῇ καὶ λανθάνων, καὶ συμβουλεύων τῷ πατρὶ τὰς ἀδελφὰς τοῖς ἀδελφοῖς συνοικίσαι, ἵνα τὸ οἰκεῖον διοικήσηται· καὶ οὕτως ἐσχημάτισται ὁ λόγος κοινῇ γνώμῃ καὶ συμβουλῇ. ἡ Μελανίππη σοφὴ τὸ δρᾶμα Εὐριπίδου ἐπιγέγραπται μὲν Σοφή, ὅτι φιλοσοφεῖ, καὶ διὰ τοῦτο τοιαύτης μητρός ἐστιν, ἵνα μὴ ἀπίθανος ᾖ ἡ φιλοσοφία. ἔχει δὲ διπλοῦν σχῆμα, τὸ μὲν τοῦ ποιητοῦ, τὸ δὲ τοῦ προσώπου τοῦ ἐν τῷ δράματι, τῆς Μελανίππης. τὸ μὲν τοῦ ποιητοῦ τοιόνδε [τὸ δὲ τοῦ*

5 Demosthenes or XV 24 p 197, 25

1 *σώζειν* P | *ὁμολογοῦντας* Dem *ὁμολογουμένους* G cum Dem *γρ FΥ* | *ἄλλους* P a: *ἑτέρους* Dem 2 *ἀλλ' οὐ παρασκευαζόμεθα—ἀμυνόμεθα* Dem, sed *ἀλλὰ παρασκευασώμεθα—ἀμυνούμεθα Σ* 3 *ἂν ἡμᾶς πείσηι* P, a *ἂν ὑμᾶς πείσω* G: *ἐὰν ἀδικεῖν ἡμᾶς ἐπιχειρῇ* Dem *δεήσῃ* in *πείσῃ* latere suspicatur Blassius 5 *ὑμᾶς* P *ἡμᾶς* a: *ὑμῶν ἐνίους* Dem | *μὲν ὡς ἄρ' οὐδενὸς ἀξίου πολλάκις ὀλιγωροῦντας* Dem 6 *ἐχθρὸν*] *ἐχθρὸν οἷς ἂν προέληται* Dem | *εἰ δὲ—7 ἀξιώσομεν* licentius contracta 10 *περαίνει ἐν ὅλωι δράματι. πρότερον δὲ δείξωμεν ἐν ὅλωι δράματι* P: *πρότερον—δράματι* om s. adparet uoces *ἐν ὅλῳ δρ.* altero loco perperam iterari 19 *τὸ μὲν τοῦ—21 Μελανίππης* om G 21 *τὸ δὲ—p 94, 1 τοιόνδε* del Schottus

προσώπου τοιόνδε]· Ἀναξαγόρᾳ προσεφοίτησεν Εὐριπίδης. Ἀναξαγόρου δὲ λόγος ἐστίν, ὅτι ‘πάντα ἐν πᾶσιν· εἶτα ὕστερον διεκρίθη’. μετὰ ταῦτα ὡμίλησεν καὶ Σωκράτει καὶ ἐπὶ τὸ εὐπορώτερον ἤγαγε τὸν λόγον. ὁμολογεῖ οὖν τὴν διδασκαλίαν τὴν ἀρχαίαν διὰ τῆς Μελανίππης· |

Καὶ οὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' ἐμῆς μητρὸς πάρα, 356
ὡς οὐρανός ⟨τε⟩ γαῖά τ' ἦν μορφὴ μία.

οὕτω μὲν ὁ ποιητὴς σχηματίζει τὸ αὑτοῦ. ἡ δὲ Μελανίππη ἐπαιδεύθη μὲν ὑπὸ τοῦ Ποσειδῶνος, γέγονε δὲ ταύτῃ παιδία· ἐξέθηκεν δὲ αὐτὰ εἰς τὰ τοῦ πατρὸς βουφόρβια. ὁ δὲ πατὴρ ἡγεῖται ἐκ βοὸς εἶναι, καὶ ὡς τέρας βούλεται κατακαῦσαι. βοηθοῦσα αὐτῇ ἡ Μελανίππη ἀποφαίνεσθαι πειρᾶται, ὅτι τέρας οὐδέν ἐστιν. οὕτω τὸ δρᾶμα ὅλον ἐσχημάτισται· καὶ ἅμα διδάσκει ἡμᾶς Εὐριπίδης, ὅτι τὸν σχηματίζοντα ἐγγυτάτω δεῖ εἶναι τοῦ λῦσαι τὸ σχῆμα μετὰ τῆς ἀσφαλείας τοῦ σχήματος. περιερχομένη γὰρ πάσας αἰτίας τοῦ σῶσαι
τὰ παιδία λέγει· ‘εἰ δὲ παρθένος | φθαρεῖσα ἐξέθηκεν 357
τὰ παιδία καὶ φοβουμένη τὸν πατέρα, σὺ φόνον δράσεις’; ὥστε καὶ τὸ αὐτῆς πρᾶγμα λέγει ἐν σχήματι συμβουλῆς.

2 cf Anaxagorea Schaubachii p 67 sq 7 Euripides fr 484 N$^2$.

3 ὡμίλησε a 4 ἀπορώτερον G 7 καὶ om G 8 τε restituit Sylburgius | γαιατημορφια· P γαῖά τ' ἄμορφα G γαλατημορφία a: corr Sylburgius 9 αὐτοῦ P, a: corr Sylburgius 10 ἐπαιδεύθη uix sanum: ἐπλήσθη Valckenaerius diatr. p 184[a] fort ἐκορεύθη cf Dindorfius ad schol. Odyss. p 500, 16 11 et 19 ἐξέθηκε a | τοῦ πατρὸς om G 13 φοβηθεῖσα οὖν ἡ G | αυτη sic P αὕτη a αὐτὴ Welcker de tragoediis p 842 19 uersus hic latere olim opinati restituebant 21 αὑτῆς Pa

Ἀλλὰ καὶ πάλιν ὁ Πανηγυρικὸς Ἰσοκράτους τοιοῦτόν τι βυβλίον ἐστὶν καὶ ὁ Φίλιππος Ἰσοκράτους καὶ ὁ περὶ τῆς ἀντιδόσεως. ἐν γὰρ τοῖς τρισὶν τούτοις βυβλίοις ἐγκώμια διέρχεται τὸ μὲν Ἀθηναίων, τὸ δὲ Φιλίππου, τὸ δ' ἑαυτοῦ. ἀλλὰ τοῖς μὲν Ἀθηναίων ἐγκωμίοις καὶ τοῖς Φιλίππου συμβουλὴν ὑποθέμενος τὸ εὐπρεπὲς τοῦ ἐγκωμίου ἐπραγματεύσατο, καὶ πεποίηται ὥςπερ πάρεργον συμβουλῆς τὸ ἐγκώμιον· ὄντως δ' ἐστὶν ἔργον τὸ ἐγκώμιον, πάρεργον δὲ ἡ συμβουλή. αὐτῷ δὲ ἔδωκεν ἐπαίνου ἀφορμὴν ἐν ἀνάγκῃ ἀπολογίας πρὸς τὰ κατηγορημένα. τοῦτο καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου ἐπραγματεύσατο. ἐγκώμιον 358 αὐτοῦ ἠθέλησεν γράψαι, | καὶ τὴν ἀπολογίαν προετάξατο. τοῦτο καὶ Πλάτων πεποίηκεν ἐν τῇ ἀπολογίᾳ Σωκράτους ἐγκώμιον βουλόμενος γράψαι ἐν ἀπολογίας σχήματι. τοῦτο καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασιν· ὡς γὰρ ἀπολογούμενος ὑπὲρ Σωκράτους ἐγκώμιον Σωκράτους περαίνει. ἔργον δὲ αὐτοῖς ἐστι καὶ πολλὰς ὑποθέσεις ὁμοῦ συμπλέκειν. ἥ γέ τοι ἀπολογία Σωκράτους καὶ Πλάτωνος ἀπολογία ἐστὶ καὶ Ξενοφῶντος ἀπολογία ἐστί. καὶ ὁ περὶ τοῦ στεφάνου τέσσαρας ὑποθέσεις ἔχει· καὶ ἀπολογία ἐστὶ καὶ κατηγορία καὶ ἐγκώμιον Δημοσθένους, καὶ ὁποῖον εἶναι δεῖ τὸν πολιτικὸν ἄνδρα. καὶ Ξενοφῶν δὲ ὁμολογῶν ἐγκώμιον

2 *βυβλίον ἐστίν·* P: *βιβλίον ἐστὶ* Ga 3 *τρισὶ* a 4 *βυβλίοις* P: *βιβλίοις* Ga 5 *τὸ δὲ αὐτοῦ* P *τὸ δὲ ἐξ αὐτοῦ* a: corr Sylburgius et Schottus 7 *τὸ*] *καὶ τὸ* G 8 *ὄντως δ'*] *τὸ δ'* P *τόδ'* Ga 9 *τῶν ἐγκωμίων* Pa: corr Schottus 10 *ἀυτῶι* P, a: corr Schottus | *ἐν ἀνάγκηι* P, a: *ἡ ἀνάγκη* Sylburgius. conicias *αὐτῷ—ἀφορμὴν ἀνάγκη* 12 *τοῦ* om G 13 *ἀυτοῦ* P: corr s | *ἠθέλησε* a 14 *πεποίήκεν* sic P 15 *σωκράτους* P: *τοῦ σωκράτους* a | *ἐν σχήματι ἀπολογίας* G 18 *παραινεῖ* Pa: corr Sylburgius 19—21 balbutit scriptor, cf supra p 53, 8—26

Ἀγησιλάου ἐρεῖν λέγει ἐν ἱστορίας λόγῳ τὸ σχῆμα ποιούμενος. καὶ παρὰ τῷ Ξενοφῶντι πάλιν ἔν τε τῇ Παιδείᾳ καὶ τῇ Ἀναβάσει εὑρή|σετε ἐσχηματισμένους 359 λόγους. βούλεται γὰρ τοὺς δημότας τὰ ἴσα ὅπλα λαμβάνειν καὶ τοὺς ὁμοτίμους. ἑκατέροις διαλέγεται εὐπρεπῶς, τοῖς μὲν ὡς τιμῶν αὐτούς, τοῖς δὲ ὡς συναγωνισταῖς καὶ συσχολασταῖς χαριζόμενος· καὶ τὸ ἑκατέρων οὕτω διοικεῖται. καὶ ἐν τῇ Ἀναβάσει ὁ Κλέαρχός ἐστιν * * * τῶν στρατιωτῶν ὑποπτευόντων τὴν ἀνάβασιν τὴν Κύρου καὶ μὴ βουλομένων ἀναβαίνειν, ἀλλὰ δεδοικότων τὰ ἄπορα. καὶ ἐν τῷ περὶ παραπρεσβείας ἄλλα προτείνει καὶ ἄλλα συγκατασκευάζει. ἔστι γὰρ ἡ τέχνη τῶν ἐσχηματισμένων λόγων μάλιστα αὕτη, τὸ ἄλλαις κατασκευαῖς συμπλέκειν τὰ οἰκεῖα. ὅ περ πεποίηκεν καὶ Θουκυδίδης ἐν τῷ ἐπιταφίῳ· δημηγορῶν γὰρ καὶ παρακαλῶν Ἀθηναίους ἐπὶ τὸν πόλεμον συνέ|πλεξε τοῦ ἐπιταφίου κεφάλαια τῇ 360 παραινέσει· ἐγκώμιόν ἐστιν ἡ παράκλησις ἀπὸ τοῦ γένους, ἀπὸ τῆς τῶν προγόνων ἀρετῆς· ἐγκώμιόν ἐστιν ἐκ παραβολῆς ἡ παράκλησις, ἐκ τοῦ παραβαλεῖν τὰ τῶν ἐναντίων καὶ τὰς δυνάμεις ἑκατέρας τῆς πόλεως.

13 Οὕτω κινδυνεύει, ὅ περ ὑπεστησάμεθα ἐν ἀρχῇ

22 supra p 71, 11

1 exspectes ἱστ. σχήματι τὸν λόγον 3 παιδίαι P | εὑρήσεται Pa: corr Sylburgius | ἐσχηματισμένους λόγους Pa: ἐσχηματισμένος λόγος corrector Tauchnitii (Schaefer?) 5 καὶ τοῖς ὁμοτίμοις ἑκατέροις Pa καὶ deleuerat corrector Tauchnitii. sanam distinctionem Hudso docuit 7 χαριζόμενος] ἀγωνιζόμενος Pa cf p 58, 5 9 ἐστι a hiatum Sylburgius et Hudso perspexere cf p 58, 9—12 10 ἀναβαίνειν P: om Ga restituit Schottus 11 δεδοικότων] δεικνύντων Pa 14 fort ἀλλοίαις 17 συνέπλεξε P: συνέταξε Ga 18 ἐστιν] γάρ ἐστιν G 20 παραβάλλειν $G^2$

*τῶν λόγων <ἀποδείξειν>, τοσοῦτον ἀποδεῖν ἀληθὲς εἶναι τὸ μὴ εἶναί τι ἐσχηματισμένον, ὥςτε τὸ ἐναντίον αὐτὸ οὐδεὶς λόγος ἀσχημάτιστος. καὶ πάλιν ἐπανέλθωμεν ἐπὶ τὴν ἀρχὴν τοῦ λόγου, ἣν ἐξ ἀρχῆς ὑπεθέμεθα, ὅτι τοῦ ἀγῶνος ὄντος τῷ ῥήτορι διπλοῦ, τοῦ πράγματος καὶ τοῦ ἤθους τοῦ κρατοῦντος, ἡ περὶ τῶν ἠθῶν διοίκησις ἀεὶ ἐσχηματισμένους τοὺς λόγους ἔχει.*

---

*Πολλὰ σχήματα παρ' Ὁμήρῳ, πάμπολλα καὶ ἐν ἄλλαις ὑποθέσεσιν ἄλλα διοικουμένῳ· ἐπεὶ καὶ ὁ τῆς Βρισηίδος λόγος οὐκ ἀσχημάτιστος, ὅτε ἤκουσα παρὰ τοῦ Ἀγαμέμνονος, θεασαμένη τὸν Πάτροκλον κείμενον*
361 *ἐπιπίπτει τῷ σώματι καὶ θρη|νεῖ Πάτροκλον. καὶ*
*οἴεται ὁ ἀκροατής, ὅτι Πάτροκλον θρηνεῖ· ἐνδείκνυται δὲ ὁ ποιητὴς σοφίαν γυναικὸς ἐν ἀκμῇ καιροῦ ἀπαιτούσης τὰς γαμικὰς ὑποσχέσεις καὶ διὰ τοῦτο θρήνου δίκην λεγούσης πρὸς Ἀχιλλέα·*

*Πάτροκλ' ἐμοὶ δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ,*
*ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα·*
*νῦν δέ σε τεθνειῶτα κιχάνομαι, ὄρχαμε λαῶν,*
*ἂψ ἀνιοῦσ'. ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.*

*ταῦτα προοίμια θρηνούσης. εἶτα τὸ προοίμιον πε-*

4 cf c XI 1—3 X 1—2 17 Homerus *T* 287—290

1 *ἀποδεῖξαι* Pa: corr Sylburgius, sed *ἀποδείξειν* hinc suo loco reddidi praeeunte Schotto 3 *αὐτῶι* P, a del Schottus 4 *ἣν*] *ὃν* Schottus 6 fort *περὶ τὸ ἦθος* 8 *πάμπολλα· καὶ* P 9 *ἀλλὰ* P: corr Gs | *διοικούμενα* Pa 10 *ἤκουσα* P: corr a 14 *ἐπαιτούσης* r uitiose 15 *τὰςτῆς γυναικὸς ὑπ.* Pa 17 *πάτροκλ' ἐμοὶ* P: *πάτροκλέ μοι* a cum exemplis Homeri 19 *δέ τε* P *δὲ* a: corr G

ραίνει ἐπιδεικνυμένη τὸν θρῆνον ὡς ἀπόδειξιν τοῦ δικαίου [θρήνου]·

ἄνδρα μέν, ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέι χαλκῷ,
τρεῖς τε κασιγνήτους, οὕς μοι μία γείνατο μήτηρ,
κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον. |

ταῦτα ἤδη Ἀχιλλέως καθάπτεται, ὅτι τὸν ἄνδρα αὐ- 362
τῆς ἀποκτείνας ἔχει αὐτὴν συνοικοῦσαν, καὶ δεῖ αὐτῇ πολλῆς παραμυθίας. εἶτα συνθηκῶν ἀνάμνησις·

οὐδὲ μὲν οὐδέ μ' ἔασκες, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺς Ἀχιλλεὺς
ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
κλαίειν, ἀλλά μ' ἔφασκες Ἀχιλλῆος θείοιο
κουριδίην ἄλοχον θήσειν ἄξειν τ' ἐνὶ νηυσὶν
ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι.

καὶ τὸ τέλος τοῦ ἐπιλόγου τὸ κέντρον τῆς ἀπαιτήσεως ἐπάγει

τῶ σ' ἄμοτον κλαίω τεθνηότα μείλιχον αἰεί,

ὡς ἂν ἀκούων ταῦτα Ἀχιλλεὺς δικαιολογουμένης εἴπῃ· 'ἀλλὰ μὴ κλαῖε, γύναι, ἐκεῖνα βέβαια γενήσεται'.

14 *Κατὰ ταύτας τὰς ὑφηγήσεις ἔστιν ἐπιόντα πολλὰ καὶ τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων καὶ τῶν δικανικῶν καὶ τῶν συμβουλευτικῶν λόγων καὶ τῶν |
ἐν ταῖς ἱστορίαις εὑρεῖν πλείους τὰς πλάσεις τῶν 363
σχημάτων ἢ τὰς ἁπλότητας τῶν κοινῶν λόγων. λέγω

3 Homerus *T* 291—294  10 *T* 295—299  17 *T* 300

1 ἐπιδεικνυμένη P: ἐπιδεικνυμένῳ a  2 θρήνου spurium  8 αὐτῇ a: ἀυτη P  αὐτῇ τῆς G  12 ἀλλά μ' Pa cum plerisque Homeri libris: ἀλλ' ἐμ' s cum uolgatis  14 γάμου Pa: corr s  15 ἐπαιτήσεως h uitiose  16 ἐπαγωγή· Pa  ἐπάγει iam Schottus  17 τώσ' P | τεθνηότα P: τεθνηκότα a  18 εἶπεν Pa: corr G  20 ἐστιν P  ἐστὶν a  21 ποιητῶν Pa

δὲ καὶ προστίθημι, ὅτι καὶ ὅταν τις ἁπλῶς λέγῃ, καὶ τοῦτο τέχνῃ σχήματος γίνεται, ἵνα ἡ τῆς ἁπλότητος προσποίησις τὸ πιθανὸν ἔχῃ τῷ ἀκούοντι. καὶ τεκμήριον τούτου ἐστὶν ὁ λόγος ὁ τοῦ Αἴαντος πρὸς Ἀχιλλέα ἐν ταῖς Λιταῖς. ὁ μὲν γὰρ Φοῖνιξ τέχνῃ χρῆται πρὸς αὐτόν, καὶ προτείνας αὐτῷ ἡδίστην ὑπόθεσιν ἐναντιωτάτην ἀγωνίζεται·

εἰ μὲν δὴ νόστον γε μετὰ φρεσί, φαίδιμ' Ἀχιλλεῦ,
βάλλεαι, οὐδ' ἔτι πάμπαν ἀμύνειν νηυσὶ θοῇσιν
πῦρ ἐθέλεις ἀίδηλον, ἐπεὶ χόλος ἔμπεσε θυμῷ,
πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην;

ἡδίστη γὰρ ὑπόθεσις Ἀχιλλεῖ τὸ λέγειν τὸν Φοίνικα, ὅτι οὐκ ἀπολειφθήσεται. εἶτα ἡ αἰτία τοῦ μὴ ἀπολειφθῆναι, ἡ τροφή, ἡ ἀγωγή, τὸ ἐξ ἀρχῆς συντετράφθαι. ταῦτα δὲ πάντα εἰς τὴν ἐναντίαν ὑπόθεσιν· 'πιθοῦ
364 μοι· | τέτροφα γάρ σε, καὶ χάριτας ὀφείλεις'. καὶ ὅτι τοῦτό ἐστιν ***. ἐπὶ τέλει ὁμολογία τῆς ἀληθινῆς ἐπιβολῆς·

ἀλλ', Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν, οὐδέ τί σε χρὴ
νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.

τοῦτο τὸ σχῆμα συνιδὼν καὶ ὁ Ἀχιλλεὺς ἀντισχηματίζει ἑξῆς, μιμούμενος τὴν τέχνην τοῦ διδασκάλου. ἐξηγεῖται γὰρ οὕτως·

μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρείδῃ ἥρωι φέρων χάριν.

8 Homerus *I* 434—437 19 *I* 496—497 24 *I* 612—613

9 θοῇσι a 10 ἐθέλης sed ης conp P: corr Sylb 14 τοῦ ἐξ Pa: corr Schottus 15 πίθοῦ sic P, acutus potest recentior esse: πίθου s 17 hiatum indicaui. nemo proponet καὶ ὅτι τοῦτο, ἔστιν ἐπὶ | ἐπιτέλει ὁμολογία τῆς ἀληθινῆς ὁμολογίας P ἐπὶ τέλει ὁμολογίας s 19 οὐδέ τι P: οὐδ' ἔτι s 23 οὔτω· Ga

αὕτη μὲν ἐξήγησις τῆς τοῦ Φοίνικος τέχνης· εἶτα ὁ ἀντισχηματισμός·

ἶσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο τιμῆς.

τί γάρ; ἐκεῖνος τοιοῦτόν τι εἶπεν ἤ τινα χάριν ἤτησεν; ἀλλ' ἐπειδὴ ἀνέμνησεν αὐτὸν εἰπών |

πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα 365
οἴνου ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ,

⟨καὶ⟩ τὰς ἐν τῇ νεότητι πάθας προέτεινεν αὐτῷ, ὡς ὀφείλοντος χάριτας, καὶ αὐτὸς ἐσχημάτισεν εἰπών· ‘ἄλλην χάριν λάμβανε μείζω, μὴ ταύτην αἴτει’. ταῦτα μὲν ὁ Φοῖνιξ σχηματίζει.

15 Ὁ δέ γε Αἴας ἁπλούστατος ὢν βαθύτατος ἐν τοῖς λόγοις πάντων ἐστίν. ἀνίσταται γὰρ ὡς ὀργιζόμενος καὶ ἀξιῶν μηκέτι μηδὲ διαλέγεσθαι, καὶ λέγει·

οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
τῇδέ γ' ὁδῷ κρανέεσθαι·

καὶ ἐπιτιμᾷ Ἀχιλλεῖ χαλεπώτατα καὶ πικρότατα. ὁ δὲ μάλιστα ἐν τῇ παρρησίᾳ ἱκετεύων καὶ δεόμενος καὶ βιαζόμενος Ἀχιλλέα οὗτός ἐστιν·

ὑπωρόφιοι δέ τοι εἰμὲν
πληθύος ἐκ Δαναῶν. |

καὶ φαίνεταί γε τοιοῦτος ἁπλοῦς δὴ καὶ ἀφελὴς καὶ 366 παρρησίᾳ χρώμενος. εἶτα τῇ τέχνῃ προσχρώμενος φαίνεται μᾶλλον πεπεικώς. πῶς δή;

3 Homerus *I* 616 6 *I* 490—491 15 *I* 625—626 20 *I* 640—641

1 μὲν Pa: μὲν ἡ apographon Cantabr 4 τί γὰρ ἐκεῖνος Pa distinxi | τὸ τοιοῦτόν τι Pa: τι del Sylburgius, corr C Caesar | ἢ τίνα Pa 5 αὐτὸν om a 9 ὀφείλοντος P ὀφείλαντος s: ὀφείλοντι G | ἐσχημάτησεν P 17 ὃ δὲ P ὃς δὲ G 20 ὑπορρόφιοι P 22 fort γ' ὁ τοιοῦτος

*Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν,*
*πάντα τί μοι κατὰ θυμὸν ἐείσω μυθήσασθαι.*
*ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότε κείνων*
*μνήσομαι, ὥς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν.*

*οὗτος οὖν ὁ λόγος δείκνυσιν, ὅτι καὶ τῆς ἁπλότητος προσποίησις σχήματος ἔργον ἐπιτελεῖ· ἐπεὶ καὶ αἱ τῶν χαρίτων ἀπαιτήσεις οὐκ ἄνευ τοῦ ἐσχηματίσθαι γίνονται. οἱ γὰρ αἰτοῦντες τὰς χάριτας παρὰ τῶν εὖ πεπονθότων ἐν καιρῷ φυλαττόμενοι τὸ ὀνειδίζειν εὐπρεπῶς ἀπαιτοῦσι. καὶ δείκνυσιν ἡμῖν ὁ ποιητής, τίς μὲν ἂν ἦν ἀτέχνου ἀπαιτήσεως τρόπος, τίς δὲ ἐντέχνου. ὁ Ἀχιλλεὺς τῇ μητρὶ λέγει·*

*πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα |*
367 *εὐχομένης, ὅτ' ἔφησθα κελαινεφέι Κρονίωνι*
*οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,*
*ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι.*

*καὶ περαίνει τὴν διήγησιν πᾶσαν, καὶ ἐπάγει παραινῶν αὐτῇ·*

*τῶν νῦν μιν μνήσασα παρέξεο καὶ λάβε γούνων.*

*ταῦτα ὑπακούει τῷ παιδὶ Θέτις, καὶ πείθουσα αὐτὸν θαρρεῖν ἐπαγγέλλεται οὐ μόνον ἐρεῖν αὐτά, ἀλλὰ καὶ αὐτῇ λέξει λέγει·*

*τοῦτο δέ τοι ἐρέουσα ἔπος Διὶ τερπικεραύνῳ*
*εἶμ' αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον, αἴ κε πίθηται.*

*καὶ ταῦτα ὑποσχομένη, ἐπειδὴ ἀφίκετο πρὸς τὸν Δία,*

1 Homerus *Ι* 644—647  13 *Α* 396—399  19 *Α* 407  23 *Α* 419—420

5 *οὖν* om G  13 *γάρ σεο* P  14 *ὅτεφηισθα* P  15 *ἀθανάτοισιν* P: *ἀθανάτησιν* a  16 *μιν*] *μην* P  19 *μιν* P cum Homero: *μοι* a | *λάβε* Pa, non *λαβὲ* item p 102, 21  21 *ἀλλὰ καὶ* P: *ἀλλὰ* a  23 *τοι* P: *σοι* a

τὸ μὲν ὀνειδίζειν ἀφίησιν, τὸ δὲ ὑπομιμνήσκειν ἐπιμελῶς πραγματεύεται·

Ζεῦ πάτερ, εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ἔτισα
ἢ ἔπει ἢ ἔργῳ· |

τὸ μὲν ἔργον οὐκ εἶπεν, τὴν δὲ ἀνάμνησιν εὐπρεπῶς 368
ἐποιήσατο. τοιοῦτός πως καὶ ὁ ἱερεύς ἐστιν, γυμνότερος μὲν ἢ κατὰ τὴν Θέτιν, εὐπρεπῶς δέ. ἐπικαλεσάμενος γὰρ τὸν θεὸν λέγει·

εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα,
ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα
ταύρων ἠδ' αἰγῶν, τόδε μοὶ κρήηνον ἐέλδωρ.

Καὶ τὰ μέτρα τῶν ἐσχηματισμένων λόγων παιδεύει ἡμᾶς Ὅμηρος, ὅτι οὐ ⟨μόνον⟩ τῆς εὐπρεπείας δεῖται, ἀλλὰ καὶ τῆς ἐν χρείᾳ συντομίας. πῶς γὰρ πάντων χρεία ἐστίν; ὅσων μὲν ἡ ⟨τέχνη⟩ χρείαν παραδίδωσιν, ταῦτα ὁ καιρὸς παραιτεῖται. διδάσκει δὲ τοῦτο ἐν τοῖς Ἑρμοῦ λόγοις πρὸς Πρίαμον Ὅμηρος. τοῦτον γὰρ Ἑρμῆς ὥςπερ διδάσκαλος ὢν παιδεύει, πῶς χρὴ ἐντυχεῖν Ἀχιλλεῖ, καὶ παραδίδωσι τὰς μεθόδους τῆς ἱκετείας·

τύνη δ' εἰσελθὼν λάβε γούνατα Πηλείωνος, |
καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠυκόμοιο 369
λίσσεο καὶ τέκεος, ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς·

3 Homerus *Α* 503—504 9 *Α* 39—41 21 *Ω* 465—467

1 ἀφίησι a 3 ποτέ δή σε P | ἔτισα Pa: ὄνησα G ex Homero tu cf *Α* 244. 412 5 εἶπε a 6 τοιοῦτος πῶς P | ἐστι a | γυμνότερον ci C Caesar 7 θέσιν a | εὐπρεπῶς scil γυμνός: εὐπρεπὴς Schottus 13 ἡμᾶς P: ἡμᾶς ὁ a | μόνον inserui | scribendum δεῖ 14 πῶς] τῶν Pa 15 μὲν ἡ χρεία Pa suppleui τέχνη cf p 103, 3. fort χορηγίαν cf p 103, 8 | παραδίδωσι s 16 ταῦτα] exspectes τινὰ uel ἔστιν ἃ | τούτωι P: corr Ga 17 ὅμηρος ante 16 ἐν traiecit G 18 εὐτυχεῖν a 23 τεκέος P

*καὶ πάντας τοὺς ἀριθμοὺς τῆς ἱκετείας παραλαμβάνει, τὸ γένειον τὸ Ἀχιλλέως, ⟨ἀνάμνησιν⟩ πατρός, μητρός, υἱοῦ. ταῦτα μαθὼν ὁ γέρων οἶδεν τέχνην κατὰ τέχνης· προσελθὼν γὰρ τῷ Ἀχιλλεῖ τοῦ γενείου ἐπιλαμβάνεται καὶ λέγει·*

*μνῆσαι πατρὸς σεῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ.*

*καὶ οὔτε τοῦ παιδὸς μέμνηται οὔτε τῆς μητρός, ἀλλὰ τοῦ πατρὸς μόνου. τὴν πολλὴν γὰρ χορηγίαν παρέλιπεν τῇ χρείᾳ τοῦ παιδός.*

*Οὐκοῦν ὑπολείπεται ἡμῖν ἐκεῖνος ὁ λόγος, ὅτι Ὅμηρος ἐπενόησεν ἐσχηματισμένον λόγον δι' εἰκόνος, ἵνα μηνύσῃ μὲν ὃ βούλεται, τὸ δὲ εὐπρεπὲς πρὸς *** τὴν ἐπιτίμησιν, ἀλλ' εἰκόνι τὸν λόγον διαπεράνας. καὶ οἱ πολλοὶ ἀγνοοῦσιν τὴν εἰκόνα. ἔστι δὲ ἡ εἰκὼν ἐν Ὀδυσσέως λόγῳ. ἐξάγει τοὺς Ἕλληνας ὁ Ἀχιλλεὺς ὡρμημένος σφόδρα ἐπὶ τῷ Πατρόκλου θανάτῳ. Ὀδυσ-*
370 *σεὺς | ἀξιοῖ αὐτοὺς πρότερον φαγεῖν καὶ οὕτως ἐξελθεῖν· καὶ ἐπιτιμᾷ τῷ Ἀχιλλεῖ, ὅτι προπετῶς ταῦτα βούλεται· καὶ λέγει τὴν ἀρχὴν τῆς παραινέσεως τὴν αἰτίαν, εἶτα τὴν παραίνεσιν ἀδιανοήτως. ἢ εἰπάτω τις, τί βούλεται τὸ*

6 Homerus *Ω* 486

2 *τὸ γένος τὸ* P: *τὸ γένος τοῦ* Ga cf adn u 4 | *ἀνάμνησιν* suppleui 3 *κατὰ τέχνης* P: *κατὰ τέχνας* a *ἐκ τέχνης* Hermannus apud Schottum p 269 4 *τοῦ γενείου*] exspectari *τῶν γονάτων* cl p 102, 21 et *Ω* 478 iam Stephanus adnotauit. sed nolui neglegentiam scriptoris corrigere, cf *Θ* 371 ideoque etiam l 2 *γένειον* restitui 7 *τοῦ* om G 8 *τ̆ πρς μοῠ*] *τῶν προγόνων* Pa | *παρέλιπε* a *παρέλιπε ἐπὶ* Schottus 10 *ὅτι* P: *ὅτι ὁ* a 12 hiatum indicaui. difficultatem Hermannus (Schott. p 270) soluebat *ἀναλάβῃ* pro *ἀλλ'* scribendo 16 *ὡρμημένος* G conicias *ὠργισμένους* 18 *ταῦτα*] an *τἀναντία*? 20 *ἀδιανοήτως* cf Quintilianus VIII 2, 20 sq 21 *τίς τι* P

*κρείσσων εἷς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ*
*ἔγχει· ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην*
*πολλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.*

ἤδη τὰ προοίμια τῆς ἐπιτιμήσεως, ὥςπερ καὶ τὸ

*μὴ δ' οὕτως ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ,*
*κλέπτε νόῳ, ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις.*

εἶτα εἰπὼν τῆς γνώμης τὴν ἀρχὴν ἐπάγει·

*τῶ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν.*
*αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,*
*ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν, |*
*ἄμητος δ' ὀλίγιστος, ἐπὴν κλίνησι τάλαντα* 371
*Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.*

καὶ ἡ εἰκὼν πέρας τῆς συμβουλῆς. εἰδέναι οὖν χρὴ ὅτι αὕτη ἡ εἰκὼν σοφία ἐστὶ τοῦ Ὀδυσσέως τοῦ Ὁμήρου. ἐπιτίμησις γάρ ἐστι πικρὰ πρὸς τὸν Ἀχιλλέα καὶ δι' ἀπορρήτων λυπηρὰ παραίνεσις. διὰ τοῦτο καὶ τὸ προοίμιον αὐτῷ μακρόν ἐστι·

*κρείσσων εἷς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ*
*ἔγχει· ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην*
*πολλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.*

αὐτὸ τὸ προοίμιον τοῦ σχήματός ἐστιν ἀρχή· ʽμὴ πάνυ θάρρει τῇ ἀνδρείᾳ τῇ σαυτοῦ· εἰ δὲ μή, ἐλέγχεις αὐτὴν τὸ μηδὲν εἶναι· ἀλλ' ἄκουε παρ' ἀνδρὸς ἐμπείρου

1 Homerus *T* 217—219  5 *A* 131—132  7 *T* 220—224  18 *T* 217—219

1 *εἰσ* sic P etiam u 18  3 *πολλὸν. ἐπεὶ* P item u 20  5 *μὴ δ'* P cum libris Homericis  6 *πείσης* Pa sed *ης* in conp P: corr G  8 *τῶ* sine iota P ex ueterum praecepto  9 *φῡλόπιδος* cum productionis nota P ut p 106, 1 et 114, 3. 133, 16  10 *καλάμην ἐπιχθονὶ* P, a *καλ. γε ἐπὶ χθ.* G: corr Sylburgius  14 *αὕτη* Pa: *αὐτὴ* G | *Ὁμηρείου* ci Sylburgius  16 *καὶ τὸ* P: *καὶ* Ga  18 20 cf u 1 3  22 *τῆσαν τοῦ.* P  23 *εἶναι*] *εἰδέναι* G

καὶ ἐπιστήμονος ἐκ πείρας πραγμάτων'. τίς οὖν ἐστιν ἡ ἐπιτίμησις ἐκείνῳ;

γαστέρι δ' οὔ πως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς.
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα |
372 πίπτουσιν· πότε κέν τις ἀναπνεύσειε πόνοιο;
ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν, ὅς κε θάνῃσιν,
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δάκρυ χέοντας.
ὅσσοι δ' ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται,
μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ' ἔτι μᾶλλον
ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεὶ
ἑσσάμενοι χροῒ χαλκὸν ἀτειρέα· μηδέ τις ἄλλην
λαῶν ὀτρυντὺν προτιδέγμενος ἰσχαναάσθω.
ἧδε γὰρ ὀτρυντὺς κακὸν ἔσσεται, ὅς κε λίπηται
νηυσὶν ἐπ' Ἀργείων· ἀλλ' ἀθρόοι κοσμηθέντες
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα.

ὡςεὶ ἔλεγεν· 'πολλοὶ τεθνᾶσιν ἤδη διὰ σὲ μηνιῶντα· νῦν ἀπορρίψας τὴν μῆνιν ἀξιοῖς τῇ τοῦ θεοῦ προσθήκῃ ἐλπίδας τῆς νίκης ἔχειν. ἐὰν οὖν ἐξέλθωσι νήστεις, οὐδ' ἂν ὁ Ζεὺς χαριζόμενός σοι βοηθῇ τοῖς Ἕλλησι, δυνήσονται διαρκέσαι νήστεις ὄντες πρὸς τὸ κρατῆσαι. ὥςτε μὴ φρόνει μέγα ἐπὶ τῇ προσθήκῃ
373 τοῦ Διὸς καὶ προπε|τῶς στρατεύου· ἐλεγχθήσῃ γὰρ τῇ ἀσθενείᾳ τῶν στρατιωτῶν'·

3 Homerus *T* 225—237

1 ἔστιν P 3 γαστρὶ P: corr s | ἐστι P 5 ἀναπαύσειε G ἀναπνεύσοιε r errore 7 δάκρυ χέοντας P: δακρύσαντας exempla Homeri 8 ὅσοι P 12 ὀτρυντὴν P: corr s | προτιδείγμενος P cf Homeri *D* et Syr *T* 336: ποτιδέγμενος Ga 13 ἧδε P ut *D* cf Laroche *Homer. textkritik* p 364: ἠδὲ G ἥδε Sylburgius 14 κοσμηθέντες Pa, igitur scriptor ἄθροι legebat: ὁρμηθέντες Sylburgius ex Hom, tu cf *B* 655 *Λ* 51 17 τοῦ θεοῦ] σαυτοῦ Pa cf u 22 18 ἐξέλθῶσιν cum duplici accentu P 22 fort καὶ ⟨μὴ⟩

αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν . . .
ἄμητος δ᾽ ὀλίγιστος, ἐπὴν κλίνησι τάλαντα
Ζεύς, ὅς τ᾽ ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

τί γὰρ τοῦ Διὸς ἡ μνήμη ἐνταῦθα; ‘συμβήσεται οὖν οὐ πολλὴν γενέσθαι ἡμῖν ὠφέλειαν ἐκ τῆς παρὰ σοῦ προτροπῆς διὰ τὸν Δία, ἂν ἀσθενεῖς ὄντες στρατευσώμεθα· ὥςτε ἐλεγχθήσεταί σου ἡ ἀνδρεία ἡ θαυμαστὴ ὑπὸ τῆς προπετείας’. ἐπειδὴ τοίνυν ταῦτα πικρά ἐστιν καὶ ἐπιτίμησιν ἔχει, εἰκόνος παρεμβολῇ τὸ πικρὸν τῆς ἐπιτιμήσεως ἀσφαλὲς ἐποίησεν.

1 Homerus *T* 221. 223—224

1 φῦλόπιδος P cf 104, 9 | uersus *T* 222 fort librarii culpa intercidit 2 ἐπῆν P 9 παραβολῆι P: corr Radermacher

## X

## *Περὶ τῶν ἐν μελέταις πλημμελουμένων*

Τάδε πλημμελούμενα ἐν ταῖς μελέταις· οἳ μὲν ἠθῶν 374 ἀμοίρους τοὺς λόγους ποιοῦνται οἰόμενοι τοῦ | πράγματος εἶναι τὸν ἀγῶνα, τὸ δὲ ἦθος ἐν παρέργῳ τιθέμενοι· οἳ δὲ περὶ τὴν κρᾶσιν τῶν ἠθῶν οὐ σπουδαίως ἔχουσιν, ἀλλ' ἂν μὲν ἁπλοῦν ᾖ τὸ ἦθος καὶ παντί τῳ ἰδεῖν ἐκκείμενον, ἰδόντες καὶ προσπεσόντες χρῶνται τῷ ἤθει· ἂν δὲ διπλοῦν ᾖ ἢ τριπλοῦν καὶ ποικιλώτερον, οὔτε τὰς διαιρέσεις τῶν ἠθῶν ζητοῦσιν οὔτε περὶ τὴν κρᾶσιν αὐτῶν πραγματεύονται· ὅθεν αὐτοῖς οὐδὲ ἀγωνίζεσθαι τοῖς ἤθεσιν συμβαίνει, ἀλλ' ὁ τοῦ ἤθους ἀγὼν ὑπάρχει τὰ καλούμενα ἐπιφωνήματα, προστυχοῦσαι τινὲς αὐτόματοι φωναὶ ἠθικαί. παρ' ὃ καὶ τὸν ἔπαινον καρποῦνται γυμνὰ τὰ ἤθη φθεγγόμενοι, δέον καθόλου τούτοις διαγωνίζεσθαι, ὥςπερ

2 † *Τοῦτο τὸ μονόβιβλον οἶμαι Διονύσιος ὁ Ἁλικαρνασσεὺς συνέταξεν ὁ πρότερος· μέμνηται γὰρ ἐν αὐτῷ* [c 19 p 121, 22 cf c 6 p 112, 24] *ὡς ἐκδεδομένου αὐτῷ τοῦ Περὶ μιμήσεως* ⁘ scholion codicis P f 29[v]

2 titulo scholion litteris maiusculis praemittit P *τοῦ αὐτοῦ Διονυσίου περὶ τῶν ἐν ταῖς μελέταις πλημμελουμένων*: M in quo librum de compos. uerb. duo capita sequentia excipiunt 3 *Τὰ δὲ* PMa: corr Sauppius 6 *κράσιν* P ut solet 7 *ἂν* PM: *ἐὰν* a | *παντί τῶι* P, Ma: corr Sylburgius 8 *εἰδόντι* G 9 *ᾖ*] *ἢ καὶ* M 12 *ἤθεσιν ὑπάρχειν συμβαίνει* libri: *ὑπάρχει* ante 13 *τὰ* inserui | *ὑπάρχει. συμβαίνει γὰρ ἄλλος τοῦ* ci Sauppius 14 *ἠθικαὶ καὶ παροῦ* P, a deleui *καί*, ad *παρ' ὃ* cf 108, 5

*σώματι ψυχὴν συμπλέκοντας τὰ ἤθη τοῖς πράγμασιν. ἔτι τε οὐχ ὑποτείνουσι τὸ ἓν μέγα ἦθος (ἔστι δὲ τοῦτο ⟨τὸ⟩ ἐκ φιλοσοφίας), οὗ τὰ ἄλλα πάντα ⟨τὰ⟩ κατὰ μέρος ἐξήρτηται πρόσφορα τοῖς ἑκάστοτε ὑποκειμένοις προσώποις· παρ' ὃ καὶ μικρότεροι ἐν ταῖς τῶν ἠθῶν χρείαις εἰσίν, ὁπόταν καὶ τὰ ἤθη | μεταχειρίζωνται, οὐδαμοῦ τὸ* 375 *μεγαλοπρεπὲς διασώζοντες, δέον τοῦτο φυλάττειν πανταχοῦ. ὥςπερ γὰρ ἐν ψυχῇ δεῖ τὸν λογισμὸν κρατεῖν, θυμὸν δὲ καὶ ἐπιθυμίαν τούτῳ ὑπακούειν, καὶ ὅσα γε θυμῷ πράττομεν, μετὰ λογισμοῦ θυμοῦσθαι, ὅσα δὲ ἐπιθυμίαις χαριζόμεθα, μὴ ἄγαν ἀλογίστως χαρίζεσθαι· οὕτω δὲ δεῖ κἀν τῷ λόγῳ ἓν μὲν ἦθος ἐκεῖνο τὸ μέγιστον τὸ ἐκ φιλοσοφίας ὥςπερ λογισμὸν ὑποκεῖσθαι τῷ λόγῳ, τὰ δὲ ἄλλα ἐπάγειν, τὰ θυμικὰ λέγω καὶ τὰ οἰκτρὰ καὶ τὰ ἀστεῖα καὶ τὰ πικρὰ καὶ τὰ ἐπίφθονα, πάντα ταῦτα ἐκείνου ἐξηρτημένα καὶ ἀλλήλοις συγκεκραμένα κατὰ τὸν τῆς χρείας λόγον.*

2 *Τοῦτο τὸ ἦθος Πλάτων ὑποθέμενος καὶ τὰ τῶν σοφιστῶν καὶ τὰ τῶν πολιτικῶν καὶ τὰ τῶν δημιουργῶν, καὶ τὰ τῶν μειρακίων καὶ τὰ τῶν ἀνδρῶν καὶ τὰ τῶν πρεσβυτέρων, καὶ τὰ τῶν γυναικῶν, καὶ τὰ τῶν | δούλων καὶ τὰ ἐλευθέρων ἤθη κατὰ λόγον* 376 *τούτῳ συνέπλεξεν. τοῦτο καὶ Δημοσθένης ὑποθέμενος δι' ὅλου μεγαλοπρεπής ἐστιν ἐν τοῖς λόγοις, ὁμοίως ἔν τε τοῖς συμβουλευτικοῖς τὸ τοῦ πολιτικοῦ ἦθος ὑποθέμενος καὶ τὸ τοῦ κολακεύοντος τούτῳ συμπλέκων*

1 *συμπλέκοντας* Sauppius: *πλέκοντας* PMa  2 *τὸ* et 3 *τὰ* inserui  3 *οὗ* (ex *οὐ*) *τἄλλα πράγματα* G  12 *δὲ* om G  *δὴ* ci Sauppius  13 *ὃ ἐκ* PMa: corr Sylburgius  14 *ἐπάγειν* cf 109, 17  15 *καὶ ἐπίφθονα* M  16 *συγκεκραμ|μένα* P  19 *σοφιστικῶν* PMG: corr a  22 *τὰ τῶν ἐλευθέρων* G  23 *τούτων σ.* G  24 *διόλου* PMGa  25 *ἔν τε* Pa: *ἐν* M | [*συμ*]*βουλευτικοῖς* (*συμ* sscr) P

*⟨καὶ ἐν τοῖς δικανικοῖς⟩ * * . * * καὶ διαφέρων τὴν*
*δόξαν τοῦ συναγορεύοντος, ἐν οἷς πραχθῆναι συνα-*
*γωνίζεται, κατὰ μίμησιν τὴν Πλάτωνος. καὶ γὰρ*
*ἐκεῖνος τὰ δόγματα οὐκ αὐτὸς ἀποφαίνεται, εἶτα περὶ*
*αὐτῶν διαγωνίζεται· ἀλλὰ ἐν μέσῳ τὴν ζήτησιν ποιού-*
*μενος πρὸς τοὺς διαλεγομένους εὑρίσκων μᾶλλον τὸ*
*δέον δόγμα ἢ φιλονεικῶν ὑπὲρ αὐτοῦ φαίνεται, πλὴν*
*ὅσα περὶ τῶν κρειττόνων ἢ καθ' ἡμᾶς διαλέγεται.*
*τοῦτο καὶ Ὅμηρος πανταχῆ τηρῶν καὶ πάντα ἤθη καὶ*
*πάσας φαντασίας ἀπὸ τοῦ ἴσου ὑμνῶν καὶ τῇ τοιαύτῃ*
*τέχνῃ μεταχειριζόμενος πρὸς τὰς διαφορὰς τῶν ὑπο-*
377 *κειμένων προσώπων ποιεῖται τὴν διάκρισιν. | Ταῦτα* 3
*μὲν ἐν ἤθει πλημμελοῦμεν, ⟨οἳ μὲν⟩ τὸ μηδὲ ὅλως*
*ζητεῖν, οἳ δὲ τὸ μὴ πάντα εὑρίσκειν, οἳ δὲ τὸ μὴ περὶ*
*τὴν κρᾶσιν πραγματεύεσθαι, οἱ δὲ πλεῖστοι καὶ σχεδὸν*
*ἅπαντες καὶ τὸ μὴ ⟨τὸ⟩ πρῶτον καὶ μέγιστον ἦθος*
*ὑφίστασθαι καὶ τὰ ἄλλα ἀκολούθως τούτῳ ἐπάγειν.*
*Περὶ δὲ γνώμην πρῶτον τὰ μέτρα οὐχ ὁρῶμεν,* 4
*ἀλλ' οἳ μὲν πάντα διὰ βραχέων ἐπιτρέχουσι δείξαντες*
*ἕκαστα τῶν ζητουμένων καὶ παρελθόντες, συντομίαν*
*τινὰ τοῦτο νομίζοντες, τὴν ἀπόλειψιν τῆς τῶν πραγ-*
*μάτων θεωρίας· οἳ δὲ ὅπως πλεῖστα εἰς ἕκαστον τῶν*
*ὑποκειμένων ζητημάτων ἐροῦσι, σκοποῦνται οὐκ εἰ-*

1 hiatum indicaui. non solum alterum membrum intercidit sed etiam initium sententiae sequentis | *διαφέρων* corruptum, fort *δὴ ὑφαιρῶν* 2 *πραχθῆναι* si sanum est, sic explicauerim 'in eis rebus quae ut fiant una cum aliis contendit' 3 *τὴν* Pa: *τοῦ* MG 4 *οὐχ* M 7 *δέον*] an *νέον*?? cf Plato leg VII p 820$^{e}$ *τῶν δεόντων μαθημάτων* 8 *διαλέγεται* PM: *λέγεται* Ga 9 *τηρῶν*] *παρ' ὧι* P, MGa 10 *ἴσου ὑμνῶν*] *ἰσουμένου* libri | *τῆι ταύτηι* P, MG *ταύτῃ* s 13 *πλημμελοῦμεν τὸ* P, MGa 15 *κράτησιν* M 16 *τὸ* restituit Sauppius 19 *ἐπιτρέ[χ]ουσι* cum litura P 23 *σκοποῦντες* libri *σκοποῦσιν* Schottus

δότες, ὅτι τὰ μὲν φύσει ὁμολογούμενα καὶ τὰ τοῖς
ἤθεσι διεγνωσμένα καὶ τὰ ἔθεσι κεκριμένα βραχείᾳ
ἀποφάσει τὴν ἰσχὺν ἔχει, ἐὰν δέ τις μηκύνῃ, ψυχρό-
τερα καὶ ἀσθενέστερα αὐτὰ ἐξεργάζεται· περὶ δὲ τὰς
τῶν νόμων ἐξετάσεις καὶ τὰς τούτων ἀποδείξεις ἡ
πολλὴ πραγματεία ἀναγκαία τῷ ῥήτορι· ὅτε πολλάκις
ἀγνοοῦμεν ἅ τε βρα|χέως δεῖ λέγειν καὶ οἷς δεῖ 378
μῆκος περιτιθέναι. καίτοι βραχὺς ὁ περὶ τούτων λόγος,
ὡς τὰ ἰσχυρότατα βραχύτατα λεκτέον, τὰ δὲ ἀσθενέ-
στατά ἐστι καὶ τὰ ἀγχώμαλα τὰ τῆς βοηθείας τοῦ
ῥήτορος εἰς ῥοπὴν δεόμενα. ὅλως δὲ οὔτε βραχέα οὔτε
πολλὰ δεῖ ζητεῖν λέγειν, ἀλλὰ σύμμετρα πανταχοῦ,
ζητοῦντας πρὸς τῇ συμμετρίᾳ πανταχοῦ καὶ τὴν ἀσφά-
λειαν· ἐπιθυμίᾳ δὲ τοῦ πολλὰ δοκεῖν εὑρίσκειν καὶ
λέγειν πολλὰ ἐν τοῖς λόγοις λυμαινόμεθα. ταῦτα μὲν
καὶ περὶ τὴν γνώμην ἁμαρτάνομεν.

5 Ἀτεχνία δὲ ἐν μελέταις αὕτη· πρώτη μὲν γυμνὴ
τῶν κεφαλαίων πρότασις πανταχοῦ τῷ μὴ ἐπίστασθαι
μήτε προδιοικεῖσθαι, ὅ πέρ ἐστι προσυστῆσαι ἢ προ-
διαβαλεῖν, μήτε τὰς τῶν προτάσεων μεθόδους· αἳ |
ἐπὶ τριῶν σχημάτων ἀγωνίζονται· ἢ ὡς εἰδότος τοῦ 379
λέγοντος τὰ μέλλοντα λεχθήσεσθαι ὑπὸ τοῦ ἀντιδίκου·
'οἶδα τοίνυν, ὅτι ἐρεῖ' καὶ 'ἀλλὰ νὴ Δία ἐρεῖ'· ἢ
ὡς πυθομένου· 'πέπυσμαι τοίνυν αὐτὸν ἐρεῖν', 'ἀπήγ-

2 *βραχέα* M 3 *ἀποφάνσει* G 5 *καὶ — ἀποδείξεις* om G 7 *ἀγνοούμενά τε* libri 10 *καὶ ἀνώμαλα* G 13 *πανταχοῦ* om G 15 *ταῦτα μὲν οὖν τὰ περὶ* G 16 *ἁμαρτήματα* libri: correxi cf 115, 10 17 *αὕτη* om M ubi quae antecedunt rubricator ut titulum dedit 18 *τὸ μὴ* libri: corr Wolfius cf p 111, 9 19 *μὴ δὲ* PMG, a | *ὅπερ ἐστι* P 20 *μὴ τὰς* PMa *τὰς* G *μηδὲ τὰς* Schottus 21 *ἀγωνίζονται* suspectum, fort *πορίζονται* 23 *ἄλλα* libri: corr Rombergius 24 *πέπεισμαι* PMa: corr Sylburgius | *ἀπήγγειλε* MGa

γειλεν τοίνυν τίς μοι’· ἢ ὡς στοχαζομένου. ὧν ἑκάστη τῶν προτάσεων κατὰ λόγον τέχνης προτείνεται. ὁ δὲ λόγος τῆς τέχνης οὗτος· περὶ ὧν θαρροῦμεν λύσειν, ἐροῦμεν εἰδέναι ἐροῦντα τὸν ἀντίδικον· περὶ ὧν ἀμφιβόλως ἔχομεν καὶ μέσως, εἰκάζειν προσποιησόμεθα· ἃ δὲ ἰσχυρὰ ὄντα τῷ ἀντιδίκῳ ἴσμεν, ταῦτα ἀκηκοέναι φήσομεν, ἵνα μὴ δοκῶμεν συνειδέναι τὰ ἰσχυρὰ τοῖς ἐναντίοις.

6 Μία τοίνυν αὕτη ἀτεχνία, ὅπερ ἔφην, ἡ τῶν προτάσεων γυμνότης, ἣν καὶ τέχνην τινὲς διαιρέσεως νομίζουσιν. ἑτέρα δὲ ἡ δοκοῦσα παρὰ τοῖς πολλοῖς τῆς τάξεως ἀκολουθία, τὸ καθ’ ὅλον τοῦ προβλήματος τὴν τάξιν διδόναι τοῖς καλουμένοις κεφαλαίοις· ἀλλὰ 380 δεῖ κατὰ τὴν χρείαν | τοῦ ἀγῶνος διακοσμεῖν τὰς πίστεις, ἔνια καὶ μετατιθέντα καὶ τάξαι τὸ συμφέρον ἡγούμενον, ἀλλὰ μὴ ὥςπερ στοιχείοις χρῆσθαι τοῖς κεφαλαίοις κατὰ τὴν τάξιν ἀπὸ τοῦ ᾱ ἕως ω̄, καθάπερ γραμματικὸν ἄνδρα, πρὸς τὴν χρείαν τῶν ἀγώνων, ἀλλὰ ὥςπερ ⟨τὰ⟩ γράμματα πρὸς τὰ ὀνόματα, οὕτω καὶ τὰ κεφάλαια πρὸς τὰ πράγματα διακοσμεῖν. ἕτερον ἐκεῖνο τὸ μηδαμοῦ συμπλέκειν τοῖς ἀσθενέσι τὰ ἰσχυρά, ἵνα τῇ τούτων ἰσχύι ἐκεῖνα ἐπικρύπτηται.

1 μοι] με M 2 προτεύεται a 3 οὕτωσ· PM οὕτω Ga | λῦσιν P λύσιν Ga: corr M 4 ἐροῦντα om M 9 ὥςπερ Sylburgius 12 καθολον sic P καθόλον M: καλὸν Ga 13 κεφαλαίοις uidetur casus instrumentalis esse. num ἀποδιδόναι? | ἀλλὰ μὴ κατὰ libri: corr Rombergius 15 τάξειν P τάξιν MGs: corr Radermacher 16 ἡγούμενον neutri generis est ‘primo loco’ 17 ἕως τοῦ ω̄ M | ω̄ ἀλλὰ καθάπερ libri: ἀλλὰ ante 19 ὥςπερ posui 19 τὰ ante γρ. suppleui | πρὸς τὰ] προστὸν ᾱ πρὸ στὰ ὀ|νόματα P, MG et qui tamen πρὸς τὸ ᾱ a: corr Wolfius. librarius archetypi προσ^α^τὸν male coeperat scribere, dein litteris uitiosis non deletis rectiora adposuit

ἔτι κἀκεῖνο τὸ μηδαμοῦ τῶν λόγων ἐκβολὴν ποεῖσθαι μηδεμίαν, καιροὺς ὑπερβαίνοντα, εἶτα πάλιν ἐπανιόντα. ὅ περ ποιοῦσιν οἱ παλαιοί· ἐν ἑτέρων καιρῶν ἀγῶσιν ἑτέρων μνήμας ποιοῦνται, τεχνικῶς προδιοικούμενοι τὴν τῶν μελλόντων λεχθήσεσθαι πίστιν καὶ ⟨τὰ⟩ παρόντα ὁμοῦ ταῖς ἐκείνων συμπλέκοντες πίστεσιν. ἔτι κἀκεῖνο ἁμάρτημα τὸ μηδὲν προδιοικεῖσθαι μηδὲ πρότερον ἀποδεικνύναι, εἶτα ἐπιφέρειν· ὅ περ ποιοῦσιν οἱ παλαιοὶ πολλάκις, καὶ | μάλιστα Δημοσθένης κατὰ 381 μίμησιν τὴν Πλάτωνος, εἰδὼς ὅτι πολλαχοῦ προτεινόμενα τὰς κατασκευὰς ἀσθενεῖς ἔχει, προκατασκευασθέντα δὲ πιστὰ ⟨τὰ⟩ ἐπενεχθέντα φαίνεται. τί δεῖ λέγειν, ὅτι τὴν ἀναγκαίαν ἀκολουθίαν οὐχ ὁρῶμεν; ἣν φησὶ δεῖν Πλάτων προσεῖναι τοῖς λόγοις, 'οὐ χύδην' ὡς ἔτυχεν 'βεβλῆσθαι' τὰ ἐνθυμήματα, ἀλλ' εἶναι τὸν λόγον ἐοικότα σώματι ἐκ κεφαλῆς ἐπὶ πόδας ἔχοντι τὰ μέρη καὶ τὰ μέλη ἀλλήλοις τε πρέποντα καὶ τῷ ὅλῳ συστήματι τοῦ σώματος. τοῦτο μὲν παρίημι εὐθύνειν, ὅτι ἔοικε σπάνιον εἶναι. ὁπότε γὰρ καὶ Λυσίαν ἐπὶ τούτῳ ἐλέγχει, πᾶσαν τὴν ἡμετέραν ῥητορικὴν ἔοικεν ἐλέγχειν. τοῦτον δὲ τὸν ἔλεγχον τὸν τοῦ μὴ ἐπίστασθαι τὴν ἀναγκαίαν ἀκολουθίαν μόνος Δημοσθένης ἐξέφυγεν κατὰ μίμησιν τὴν Πλάτωνος· πῶς καὶ τίνα τρόπον, ἐν τῷ περὶ μιμήσεως πειρασόμεθα. τοι-

14 Plato Phaedri p 264$^{b}$ 15 ibidem 264$^{c}$

3 παλαιοί, οἳ ἐν Schottus 5 μελλόντων om M | τὰ inserui 6 συμπλέκοντα PMGa συμπλέκονται s: corr Schottus 9 πολλά ex πολλὰ corr P, MGa: corr Sylburgius 10 μίμησιν τῶν PMa μίμησιν G: corr Sylburgius | ὅτι πανταχοῦ a | ⟨τὰ⟩ προτειν. Wolfius non recte 12 τὰ restituit Rombergius 14 προσθεῖναι libri 15 ἔτυχον libri: corr Schottus 21 τοῦτο a 23 τὴν] τοῦ G 24 an ἀκροασόμεθα?

382 *αὖ|τα μὲν καὶ τοσαῦτα καὶ ἔτι πλέω τούτων τὰ τῆς*
*ἀτεχνίας πλημμελήματα.*

*Περὶ δὲ τὴν λέξιν συχνὰ τὰ ἁμαρτήματα. οἳ μὲν* 7
*γὰρ πάνυ εὐτελῶς φθέγγονται καὶ φασὶ τὸ κατὰ φύσιν*
*δὴ καὶ γνώριμον μεταδιώκειν, οὐκ εἰδότες ὅτι ἐν τῷ*
*καλῷ μάλιστα ⟨τὸ⟩ γνώριμόν ἐστιν, ἐν δὲ τῷ ἀγοραίῳ*
*τῆς λέξεως οὐδὲ τὸ σαφές, μή τί γε ⟨τὸ⟩ γνώριμον*
*φαίνεται· τὸ γὰρ ἀγοραῖον οὔτε τὴν δήλωσιν ἀκριβῆ*
*οὔτε τὴν φαντασίαν ἐναργῆ παρέχεται. οἳ δὲ τὸ παρά-*
*σημον τῆς λέξεως ἐναγκαλίζονται, εἴ πού τι ἀνακεχω-*
*ρηκὸς ὄνομα ἢ ῥῆμα εἴρηται, τοῦτο θηρῶντες καὶ*
*πανταχοῦ φθεγγόμενοι, ἐπ᾽ ἀρχαιότητι δή τινι σεμνυ-*
*νόμενοι· γελοῖον πεπονθότες, εἴ γε μὴ λογίζονται, ὅτι*
*τὰ βυβλία διὰ τῶν γνωριμωτάτων ἀγωνίζεται, τὰ δὲ*
*ἀνακεχωρηκότα ταῦτα σπάνιά ἐστιν. οὔκουν ⟨ἂν⟩*
*ἀρχαΐζειν δοκοίη ὁ τὰ ὀλιγάκις εἰρημένα ἀρχαίοις*
*λέγων, ἀλλ᾽ ὁ τοῖς ἀεὶ λεγομένοις καὶ πανταχοῦ χρώ-*
*μενος. ἀγνοοῦσιν δὲ καὶ τὴν χρῆσιν τῶν σπανίων*
383 *ὀνο|μάτων, καθ᾽ ἃς αἰτίας ἔνεστι τοῖς βυβλίοις. εἰσὶ*
*δὲ αἱ αἰτίαι αὗται· πρώτη μὲν ἐκείνη· ἔνια τῶν ὀνο-* 8
*μάτων τοῖς τότε καιροῖς συνήθη ἦν καὶ γνώριμα, ὧν*
*νῦν ἡ χρῆσις ἐξερρύηκεν· ἐκεῖνοι μὲν οὖν ὡς γνωρί-*
*μοις ἐχρῶντο, ἡμεῖς δ᾽ ἂν αὐτὰ εἰκότως ἐκκλίνοιμεν.*
*δευτέρα αἰτία· ἔνια τῶν πραγμάτων τῷ μὴ πολλάκις* 9

1 *πλεω* P *πλέω* M: *πλείω* Gs 4 *γὰρ* om M 5 *δὴ*] *δεῖ* M | *εἰδότες τί ἐν* libri: corr Schottus 6 *τὸ* inserui itemque 7 7 *μήτοι γε* G 9 *οἳ δὲ*] *οὔτε* libri: corr Sylburgius 10 *λέξεως ἀναγκάζονται* libri: corr Cobetus Mnemos. n. s. III p 330 12 *φθειρόμενοι* Ga 14 *βυβλία* P: *βιβλία* MGa 15 *οὔκουν* sic P | *ἂν* restitui 16 *ἀρχαῖοις* P *τοῖς ἀρχαίοις* M 18 *ἀγνοοῦσι* MGa 19 *ἔνεστι* Hudso: *ἐστὶ* libri | *βυβλίοις* P: *βιβλίοις* reliqui 20 *αἱ* om M | *αὗται* ante *αἱ* traicit G

*συνήθη τοῖς ἀνθρώποις εἶναι ἀήθη πάντα ἔσχεν καὶ τὰ ὀνόματα, οἷον τὸ περὶ τοὺς ὀδόντας πάθος, ὅταν ὑπό τινος δριμέος ἢ στριφνοῦ μὴ οἷοί τε ὦσιν τέμνειν οἱ ὀδόντες ὥςπερ φρίττοντες. τοῦτο γὰρ σπανίως συμβαίνει· σπανία δὴ καὶ ἡ χρῆσις τοῦ ὀνόματος.*
10 *ἡμεῖς δὲ ἐκκυκλοῦμεν ἀεὶ τὰ τοιαῦτα ὀνόματα. τρίτη δὲ αἰτία ἐκείνη· ἐνίοτε λέγουσιν τὰ σπάνια τῶν ὀνομάτων κατὰ μίμησιν τὴν πρὸς ἑτέρους, καθάπερ ἐν ἰδιώματι κωμῳδίας. ἡμεῖς δὲ οὔτε παίζοντες οὔτε | ἀνάγκῃ κατα-* 384
*κλειόμενοι θηρῶμεν τὰ ὀλίγα ταῦτα ὀνόματα, ὀψιμαθίᾳ καὶ ἀπειροκαλίᾳ τοῖς αἰσχίστοις τῶν παθῶν περιπεπτωκότες. Ἔτι κἀκεῖνο πλημμέλημα ἐν τῇ λέξει τὸ ὑπὸ φιλοτιμίας πᾶσι χρῆσθαι τοῖς εἰρημένοις ὀνόμασι πανταχοῦ, τὸν καιρὸν μὴ προστιθέντα, οἷον λέγω ἱστορικόν που ὄνομα, διαλεκτικόν, ποιητικόν, ἐκ τραγῳδίας ἢ κωμῳδίας φθέγγεσθαι ὄνομα. ἔστιν δὲ τοῦτο παιδείας μὲν ἴσως ἔνδειξις, χρήσεως δὲ ἀπειρία. δεῖ γὰρ διακρίνειν, τίνα δικανικά τε τῶν ὀνομάτων, τίνα διαλεκτικὰ καὶ τίνα ἱστορικά, καὶ τίνα ποιητικὰ ἑκατέρας τῆς ποιήσεως, καὶ ἐπιλέγεσθαι τὰ πολιτικὰ πανταχόθεν· εἰ δὲ μή, καὶ γελοῖοι καὶ ἐπίφθονοι φανούμεθα· οὐχ ὡς οὐκ ἔστι που καὶ διαλεκτικὸν ὄνομα καὶ ἱστορικὸν καὶ ποιητικὸν ἐν τοῖς πολιτικοῖς βυβλίοις, ἀλλ᾽ ἐπί-*

2—5 scil *αἱμωδία* cf Galenus t VII p 108 sq K.

1 *πάντως* G | *ἔσχε* MG 3 *δρῖμέος* cum productionis nota cf p 133, 16 | *στριφνοῦ* P: *στρυφνοῦ* MGa | *οἷόν τε* P: corr MGs | *ὦσι* a 5 *δὲ καὶ* libri 6 *ἐγκυκλοῦμεν* P ceterique: corr Schottus *ἐκκλινοῦμεν* Sylburgius 7 *ἔνιοί τε* PMG: corr a | *λέγουσι* s 8 *ἰδιώματι*] *ἰδίωι τινὶ* P, MGa *ἰδέᾳ τινὶ* Cas(aubonus) 10 fort *τὰ ἄλογα* 14 *προστιθέντας* G 16 *ἔστι* a | *μὲν δὴ τοῦτο ἴσως παιδείας τινὸς ἔνδειξις* G 18 *τε* om G | fort *ὀνομάτων* <*καὶ δημηγορικά*> 19 *ἑκάτερα* PMa: corr G 23 *πολιτικὸν ἐν τοῖς ποιητικοῖς* libri: corr Schottus | *βυβλίοις* P: *βιβλίοις* ceteri

στασθαι δεῖ καὶ τὸν καιρὸν τῆς χρήσεως καὶ τὴν
διοίκησιν. ἔστιν δὲ ὁ μὲν καιρὸς ἐκεῖνος, ὅταν ἐναρ-
γέστερόν τι ὄνομα ᾖ ἀπὸ ποιήσεως ἢ διαλεκτικῆς ἢ
385 ἱστορικῆς, χρῆσθαι, | ὡς ὁ ῥήτωρ, πρὸς τὴν ἐνέργειαν.
ἡ δὲ διοίκησις ἐκείνη, τὸ προεξηγήσασθαι καὶ τοῖς
προταχθεῖσιν ἢ ἐπιφερομένοις οὖσι γνωρίμοις ἀφα-
νίσαι τὴν καινότητα τοῦ ὀνόματος καὶ ὁμολογίᾳ χρῆ-
σθαι τοῦ τὸ ῥῆμα ἐξ ἄλλης ἰδέας λόγων εἶναι· ἱκανὴ
γὰρ ⟨ἡ⟩ ὁμολογία καὶ παραμυθία τῆς καινότητος.
ταῦτα καὶ ἔτι πλείω τούτων κατὰ λέξιν ἁμαρτάνομεν.
Ἀκόλουθος δὲ τῇ λέξει καὶ ὁ περὶ τῶν σχημάτων 11
λόγος, ὅτι καὶ ἀπλάστως καὶ ἀσχηματίστως λέγουσιν,
ὥςπερ καὶ ἀγοραίως τοῖς ὀνόμασιν. οἳ δὲ καὶ πανταχό-
θεν σχήματα συνάγουσιν ἀγνοοῦντες τὸν καιρὸν
αὐτῶν, ὥςπερ καὶ τῶν ὀνομάτων. τοιαῦτα μέν τινα
καθόλου λέγειν ἔχομεν ⟨πλημμελούμενα⟩ ἐν ἤθει, ἐν
γνώμῃ, ἐν τέχνῃ, ἐν λέξει.
Φέρε δὴ κατὰ μέρος σκεψώμεθα ἀπὸ τῶν τῆς ὑπο- 12
θέσεως στοιχείων τὰ ἐν ἑκάστῳ στοιχείῳ πλημμελή-
386 μα|τα· ἔστι δὲ τὰ τῆς ὑποθέσεως στοιχεῖα τέσσαρα·
προοίμιον, διήγησις, πίστεις, ἐπίλογοι.
Ἃ τοίνυν πλημμελοῦμεν ἐν προοιμίῳ μελετῶντες, 13
ταῦτά ἐστι. πρῶτον μὲν ὡς εἰδόσι τοῖς δικασταῖς
διαλεγόμεθα προοιμιαζόμενοι, γελοιότατον πάσχοντες,
ἐπειδὴ προβάλλομεν πρὸ τῆς μελέτης τὴν ὑπόθεσιν,

2 ἔστι a 3 ᾗ] ἢ libri 4 ὁ ῥήτωρ i e Demosthenes | ἐνάργειαν GM[1] 6 προσταχθεῖσι a 7 ὁμολογίαν P[1] | fort χρήσασθαι 8 τοῦ, τὸ sic P: τοῦτο a | λόγον M 9 ἡ inserui | κενότητος a 10 τούτων om G 16 πλημμελούμενα suppleui
18 φέρε δὲ PM φέρε δὲ καὶ G: corr a | ἀπὸ] nonne ἐπὶ?
19 ἑκάστωι στοιχεῖα P ω sscr P[2] 21 πίστις MG[1] | ἐπίλογος ci Romberg

ἡγούμενοι καὶ τὸν δικαστὴν ὥςπερ τὸν ἀκροατὴν ἐπίστασθαι τὸ πρόβλημα. δεῖ δὲ ἐν τῷ προοιμίῳ καὶ παρανοίγειν τὸ πρᾶγμα, ἐπὶ κεφαλαίων προδηλοῦντα, περὶ ὧν ὁ ἀγὼν γενήσεται. ἔπειτα δὲ νόμον τινὰ προοιμίων ἐποιήσαντο τὰ προοίμια, οὐκ εἰδότες ὅτι ἓν ἐξαρκεῖ ⟨πολλάκις⟩, πολλάκις δὲ καὶ πλειόνων δεῖ. ἔτι τοίνυν πολλοὶ προκαταχρῶνται τοῖς κεφαλαίοις ἐν τοῖς προοιμίοις, οὐδὲ νοοῦντες, ὅτι τὰ προοίμια δεῖ σύστασιν μὲν εἶναι τῶν κεφαλαίων, οὐκέτι δὲ αὐτὰ κεφάλαια. ὅθεν καὶ τῶν ἀντιδίκων ὑπολήψεις ἐν προοιμίοις 387 διαλαμβάνουσιν. ἔτι μέντοι καὶ λοιδορούμεθα πανταχοῦ τοῖς ἀντιδίκοις προοιμιαζόμενοι, οὐκ εἰδότες οὐδὲ τοῦτο, ὅτι ῥήτωρ λοιδορίᾳ χρῆται ὡς πίστει ἤτοι κατὰ ἤθους ἢ κατὰ πραγμάτων χρείαν· ἡμεῖς δὲ πανταχοῦ τοῖς ἀντιδίκοις προοιμιαζόμενοι λοιδορούμεθα. ἔτι μέντοι ἓν σχῆμα τῶν προοιμίων ἡμῖν ἐστι, τὰ στρογγύλα καὶ τὰ περιφερῆ λέγειν προοίμια· οὐκ ἴσμεν δὲ ὅτι καὶ τὰ ἀποτεταμένα ἔστιν ὡς ἐν διηγήσεως τρόπῳ, καὶ ἀπὸ παροιμίας που ἄρχεται προοίμιον, καὶ παράδειγμά που καὶ εἰκόνα προοίμιον ἔχει. πάντων δὲ τούτων τῶν ἀγνοημάτων ⟨αἴτιον⟩ τὸ μὴ ἐπίστασθαι, τί τὸ κεφάλαιόν ἐστι τοῦ προοιμίου καὶ τίς ἡ τέχνη ἐστί. τὸ δὲ κεφάλαιον τοῦ προοιμίου δόξα προσώπων τε καὶ πραγμάτων· δεῖ γὰρ ἢ συστῆσαι ἢ διαβαλεῖν

1 ὥσπερ καὶ τὸν M 6 suppl Radermacher | ἔτι PMG: εἰ a 7 ἐν τοῖς] ἐν M 8 οὐδὲ PGa: οὐδὲν M 9 οὐκ ἔτι P, M: οὐκ ἔστι Ga | αὐτὰ PMa: αὐτὰ τὰ G 11 λαμβάνουσιν libri 13 ὅτι ὁ ῥήτωρ MG 14 ἤθους Pa: ἦθος MG 18 ἐστὶν libri. fort ἔστιν ⟨οὗ παραληπτέον⟩ 19 παρυμίας P[1] 21 αἴτιον suppleuit Stephanus 22 ἐστι om G 23 ἐστί om M 24 δεῖ γὰρ ἢ συστῆναι (sic) ἢ διαβαλεῖν ἢ πρόσωπον ἢ πρᾶγμα ἢ καὶ συστῆσαι καὶ διαβαλεῖν καὶ πρόσωπον καὶ πρᾶγμα. ἡ δὲ P

ἢ πρόσωπον ἢ πρᾶγμα. ἡ δὲ τέχνη τοῦ προοιμίου προδιοίκησις τοῦ παντὸς ἀγῶνος. δεῖ γὰρ παρασκευάσαι τὸν ἀκροατὴν ἐν τῷ προοιμίῳ, ὡς συμφέρει τῷ
388 ῥήτορι τοῦτον τὴν τοῦ | παντὸς ἀγῶνος ἀκρόασιν ποιήσασθαι. ἐντεῦθεν καὶ τὰ μέτρα τῶν προοιμίων εὑρίσκομεν κατὰ τὰς διοικήσεις καὶ τὰς πλάσεις καὶ τὴν ἑρμηνείαν. ταῦτα μέν ἐστι κεφάλαια περὶ τῆς ἐν προοιμίοις πλημμελείας.

Διηγήσεις δὲ οἳ μὲν οὕτω βραχείας ποιοῦνται, 14
ὥςπερ οὐ δέον μηκῦναι τὴν ὑπόθεσιν· οἳ δὲ οὕτω μακράς, ὥςτε καὶ συμπλέκειν καὶ κατασκευάς τινας καὶ αὐξήσεις. ἑκάτερον δὲ τούτων ἁμάρτημα. τό τε γὰρ μὴ σαφῶς διδάσκειν οὐκ ἂν εἴη διηγεῖσθαι· τό τε ἀπέραντα λέγειν, ἀλλὰ μὴ ἐν μέτρῳ τῆς διδασκαλίας τὸ πιθανὸν διοικεῖσθαι κλέπτοντα τὴν ἀκρόασιν — ματαία καὶ ἄκαιρος ἡ τοιαύτη ἀδολεσχία. δεῖ δὲ τὸν ῥήτορα διηγεῖσθαι μὲν ὡς διδάσκοντα, πειρᾶσθαι δὲ πείθειν ἐν τῷ διδάσκειν, τά ⟨τε⟩ σαθρά καὶ τὰ ἰσχυρά, τά τε τοῦ ἐξ ἐναντίας καὶ τὰ αὐτοῦ πρὸς τὸ συμφέρον μεταχειριζόμενον. ἁμάρτημα δὲ καὶ τὸ πανταχοῦ διηγεῖσθαι μὴ ἐπιστάμενον, ὅτι ὅλη μὲν ἰδέα συμβουλευτικὴ διηγήσεως οὐ δεῖται· ἴσασι γὰρ οἱ βουλευόμενοι
389 περὶ ὧν σκοποῦνται, καὶ δέονται μα|θεῖν ὃ πρακτέον ἐστίν, οὐχ ὅπερ βουλευτέον. εἰσὶ δὲ καὶ δίκαι διηγήσεις οὐκ ἔχουσαι· αὗται δέ εἰσιν ⟨αἱ⟩ καὶ τοῖς δικάζουσι τὸ

itemque M ubi tamen ante ἡ δὲ interponitur rubro τίς ἡ τέχνη τοῦ προοιμίου: carent uariae lectionis interpolamento Ga 2 γὰρ om M 4 τούτωι P, Ma om G οὕτω Schottus | ἀγῶνος om G 6 κατὰ] καὶ libri 11 μακρᾶς P | καὶ κατὰτασκευάστινασ P: corr MGa 14 τῆς om G[1] 18 τὰ σαθρὰ libri: τε inserui | ἰσχυρά· P 19 καὶ τοῦ αὐτοῦ PMa: corr G (sed αὐτοῦ) et Schottus 22 βουλευόμενοι P: βουλόμενοι MGa 25 εἴσιν καὶ P εἰσι καὶ MGa: εἰσιν αἱ Sylburgius

πρᾶγμα γνώριμον ἔχουσαι καὶ τοῖς ἀντιδίκοις ὁμοίως ἀμφοτέροις ὁμολογούμενον· τοιαῦται δὲ εἰσὶν αἱ πλείους τῶν πραγματικῶν ὑποθέσεων. οὕτω δέ που πράγματά ἐστι πολιτικὰ ἐν οἷς οὐ δεῖ διηγεῖσθαι. ἀλλὰ μάταιον τὸ ἀνάλωμα τῶν λόγων, ὅπου τοῖς λέγουσιν ἀμφοτέροις ἡ διήγησις περιττὴ καὶ πλέον οὐδὲν ἑκατέρῳ· οἷον ἀριστειῶν διηγήσεις γελοῖαι παντάπασιν (ὁμολογοῦνται γάρ) καὶ ἐκ παραβολῆς αἰτήσεις· οἷον δύο στρατηγῶν ὃ μὲν τριακοσίους ἔλαβεν αἰχμαλώτους, ὃ δὲ τριακοσίους ἀνῄρηκεν· ἀμφισβητοῦσιν τῆς δωρεᾶς· ἐνταῦθα γὰρ τὸ διηγεῖσθαι οὐδετέρῳ χρήσιμον, ἄλλως δὲ καὶ τὸ πεπραγμένον πᾶσι γνώριμον. |

15 Ἐν δὲ τοῖς κεφαλαίοις πρὸς τῇ ἄλλῃ τῇ εἰρημένῃ 390 ἀτεχνίᾳ καὶ τόδε τὸ πλημμέλημα, ἀλόγων τινῶν καὶ ἀπρεπῶν καὶ ἀπιθάνων κεφαλαίων συνήθεια, οἷς χρῶνται οἱ μελετῶντες, οὐκ ἂν χρησαμένων τῶν ὡς ἀληθῶς λεγόντων· ἃ καὶ καλοῦσιν καθολικὰ κεφάλαια. ἐν μὲν τῇ συμβουλευτικῇ ἰδέᾳ τὸ 'οὐ δεῖ πόλεμον πρὸ εἰρήνης αἱρεῖσθαι'· τίς γάρ ἐστιν ὁ λέγων, ὅτι δεῖ ποτε πόλεμον πρὸ εἰρήνης αἱρεῖσθαι; ἀλλ' εἰ μέντοι, ζητοῦμεν καὶ τὸ πρὸς τίνας καὶ τὸ ἄχρι πόσου· ὧν ἡ ζήτησις ἐν τέσσαρσι τοῖς τῆς συμβουλῆς κεφαλαίοις,

1 ἔχουσι una editio Tauchn 2 τοιαῦται] αὗται libri 3 πραγμάτων PM τικ(ῶν) nouissimis litteris nunc euanidis sscr P²: πραγματικῶν Ga | τοῦτο δὲ ὑπὸ πράγματα libri. uereor ne haec sententia lectori debeatur eorum quae antea 117, 21—24 dicta sunt immemori 6 ἑκατέρων libri 7 διηγήσεις· γελοῖα P, MGa: corr Sylburgius 9 τριακοσίων a 10 ἀλφισβητοῦσι a 15 συνήθεια οἷς uitii suspectum 17 καλοῦσι a 19 αἰτεῖσθαι P solus | τίς γὰρ — 20 αἱρεῖσθαι· P: om MGa 20 ἄλλοι P ἀλλ' οἱ M ἄλλοι Ga: corr Schottus | μεν τὸ ζητούμενον P, MGa 21 τὸ πότερος τινὰσ P, Ga τὸ πρότερόν τινας M τὸ πότερόν τινας s

*τῷ δικαίῳ, τῷ συμφέροντι, τῷ καλῷ, τῇ δυνάμει. ἐν δὲ ταῖς δικανικαῖς τὸ δεῖν τὸν ἠριστευκότα, τὸν ἀνῃρηκότα τύραννον δωρεὰν λαμβάνειν, ⟨ἣν⟩ ἂν θελήσῃ, πᾶσαν, ἐπειδὴ ὁ νόμος κελεύει· τοῦτο γὰρ πῶς οὐ παντάπασιν ἄλογον καὶ ἀναίσχυντον; ἀλλ᾽ εἰ μέν, ζητεῖται, ⟨ἃ⟩ βούλεταί τις, εἰ δίκαια καὶ πρέποντα αὐτῷ αἰτοῦντι λαβεῖν καὶ τοῖς ψηφιζομένοις παρασχεῖν. ἔτι κἀκεῖνο τὸ μὴ δεῖν τὸν στρατηγόν, τὸν ἄρχοντα*
391 *τῶν κατὰ μέρος εὐθύνας ὑποσχεῖν· τούτῳ γὰρ σαφῶς ὁμολογεῖ ἀδικεῖν, τῷ μὴ πάντων ἀξιοῦν λόγον ὑποσχεῖν. φαίη τις ἂν ἐκ περιουσίας ταῦτα λέγεσθαι·* 16
*ἀλλὰ τοὺς πλείστους τῶν λόγων ἐπ᾽ αὐτοῖς ἀναλίσκουσιν. ἔπειτα εἰδέναι δεῖ καὶ περὶ τῶν ἐκ περιουσίας κεφαλαίων, ὅτι τότε λεκτέα ἐστίν, ὅταν χρήσιμον ⟨ᾖ⟩ καὶ μὴ πολὺ μᾶλλον βλάπτῃ. ἔτι κἀκεῖνο τὸ μὴ δεῖν πατρὶ ἀποκηρύττοντι ἀντιλέγειν· τοῦτο πάντων γελοιότατον τὸ ἥκοντα εἰς δικαστήριον κατηγορήσοντα παιδὸς φάναι μὴ δεῖν ἀπολογεῖσθαι. μέγιστον δὲ καὶ ἀλογώτατον ἐκεῖνο τὸ μὴ δεῖν ἐξ εἰκότων κατηγορεῖν· τοῦτο γὰρ παντάπασιν στοχασμὸν ἀναιρεῖ, ὅ περ μέγιστον δικανικῆς ἰδέας μέρος· αἱ γὰρ πλεῖσται δίκαι ἐκ τῶν εἰκότων κρίνονται. ταῦτα καὶ ἄλλα τοιαῦτα κεφάλαια ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς εἰθισμένα*

3 *ἣν ἂν*] *ἐὰν* libri. cf lex Senecae controu. X 2 ʽuir fortis quod uolet praemium optet. si plures erunt, iudicio contendant’ | *θελήσηι* P, MG: *θελέσῃ* a 4 *ἐπειδὴ δὲ ὁ* libri: corr Sylburgius | *γὰρ* om G 5 *μὲν ζητεῖται, βούλεταί τι* (*τί* M *τὸ* s) libri 7 fort *αὐτῷ ⟨τῷ⟩* 9 *τοῦτο*—10 *τὸ* libri 10 *λόγου* Pa: corr MG 12 *πλείους* a 13 *δεῖ*] *χρὴ* G 14 *τίτοτε* P *τί τότε* Ga *τί..* cum fenestra M | *λεκτέα* PMGa: *λεκτέον* ex apographo Colbertino Schottus 15 *ᾖ* inserui 18 *φᾶναι* Pa 20 *παντάπασι* a 21 *πλεῖσται δικανικαὶ* libri 23 *σοφιστῶν* PM: *σοφῶν* Ga

ἀγωνίζεσθαι φευκτέα, εἰ μέλλει τις πρὸς ἀλήθειαν
17 ῥητορεύειν. | Ταῦτα μὲν πρὸς τοῖς εἰρημένοις καὶ περὶ 392
τῶν κεφαλαίων.

